# UIT DE ILIAS

# VAN

# HOMEROS

# BOEK V

# Diomedes’ heldendaden



becommentarieerd door drs. J.H. van Hal
2022

Ἔνθ᾽ αὖ Τυδεΐδῃ Διομήδεϊ Παλλὰς Ἀθήνη
δῶκε μένος καὶ θάρσος, ἵν᾽ ἔκδηλος[1] μετὰ πᾶσιν
Ἀργείοισι γένοιτο ἰδὲ[2] κλέος ἐσθλὸν ἄροιτο[3]·
δαῖέ[4] οἱ ἐκ κόρυθός τε καὶ ἀσπίδος ἀκάματον[5] πῦρ,
ἀστέρ᾽ ὀπωρινῷ[6] ἐναλίγκιον[7], ὅς τε μάλιστα
λαμπρὸν παμφαίνῃσι[8] λελουμένος Ὠκεανοῖο[9]·
τοῖόν οἱ πῦρ δαῖεν ἀπὸ κρατός τε καὶ ὤμων,
ὦρσε[10] δέ μιν κατὰ[11] μέσσον, ὅθι πλεῖστοι κλονέοντο[12].
Ἦν δέ τις ἐν Τρώεσσι Δάρης, ἀφνειὸς[13] ἀμύμων[14],
ἱρεὺς Ἡφαίστοιο· δύω δέ οἱ υἱέες ἤστην,
Φηγεὺς Ἰδαῖός τε, μάχης εὖ εἰδότε[15] πάσης.
τώ οἱ ἀποκρινθέντε[16] ἐναντίω ὁρμηθήτην[17]·
τὼ μὲν ἀφ᾽ ἵπποιιν, ὁ δ᾽ ἀπὸ χθονὸς ὄρνυτο πεζός.
οἱ δ᾽ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ᾽ ἀλλήλοισιν ἰόντες,
Φηγεύς ῥα πρότερος προΐει δολιχόσκιον ἔγχος·
Τυδεΐδεω δ᾽ ὑπὲρ ὦμον ἀριστερὸν ἤλυθ᾽ ἀκωκὴ[18]
ἔγχεος, οὐδ᾽ ἔβαλ᾽ αὐτόν· ὁ δ᾽ ὕστερος ὄρνυτο χαλκῷ
Τυδεΐδης· τοῦ δ᾽ οὐχ ἅλιον βέλος ἔκφυγε χειρός,
ἀλλ᾽ ἔβαλε στῆθος μεταμάζιον, ὦσε δ᾽ ἀφ᾽ ἵππων.
Ἰδαῖος δ᾽ ἀπόρουσε[19] λιπὼν περικαλλέα δίφρον,
οὐδ᾽ ἔτλη περιβῆναι ἀδελφειοῦ κταμένοιο·
οὐδὲ γὰρ οὐδέ κεν αὐτὸς ὑπέκφυγε κῆρα μέλαιναν,
ἀλλ᾽ Ἥφαιστος ἔρυτο[20], σάωσε δὲ νυκτὶ καλύψας,
ὡς δή οἱ[21] μὴ πάγχυ γέρων ἀκαχήμενος[22] εἴη.
ἵππους δ᾽ ἐξελάσας μεγαθύμου Τυδέος υἱὸς

[1] ἔκδηλος — uitblinkend
[2] ἰδὲ — en
[3] ἄρνυμαι — verwerven
[4] δαίω *intr.* — branden
[5] ἀκάματος — onvermoeibaar
[6] ὀπωρινός — van de nazomer
[7] ἐναλίγκιος *+ dat.* — lijkend op
[8] παμφαίνω — stralen schitteren
[9] *genitivus loci*
[10] ὄρνυμι — drijven
[11] κατά — naar
[12] κλονέομαι — zich verdringen
[13] ἀφνειὸς — vermogend, rijk
[14] ἀμύμων — voortreffelijk
[15] οἶδα *+ gen.* — bedreven met
[16] ἀποκρίνομαι — zich afzonderen
[17] ὁρμάομαι — toesnellen, aanvallen
[18] ἀκωκὴ — lanspunt
[19] ἀπορούω — wegspringen
[20] ῥύομαι — beschermen
[21] *dativus ethicus; Hephaistos zelf*
[22] ἀκαχήμενος — bedroefd

δῶκεν ἑταίροισιν κατάγειν κοίλας ἐπὶ νῆας.
Τρῶες δὲ μεγάθυμοι ἐπεὶ ἴδον υἷε Δάρητος
τὸν μὲν ἀλευάμενον[1], τὸν δὲ κτάμενον παρ᾽ ὄχεσφι,
πᾶσιν ὀρίνθη[2] θυμός· ἀτὰρ γλαυκῶπις Ἀθήνη
χειρὸς ἑλοῦσ᾽ ἐπέεσσι προσηύδα θοῦρον[3] Ἄρηα·
«Ἆρες Ἄρες βροτολοιγέ[4], μιαιφόνε[5], τειχεσιπλῆτα[6],
οὐκ ἂν δὴ Τρῶας μὲν ἐάσαιμεν καὶ Ἀχαιοὺς
μάρνασθ᾽, ὁπποτέροισι πατὴρ Ζεὺς κῦδος ὀρέξῃ[7],
νῶϊ δὲ χαζώμεσθα[8], Διὸς δ᾽ ἀλεώμεθα[9] μῆνιν;»
Ὣς εἰποῦσα μάχης ἐξήγαγε θοῦρον Ἄρηα·
τὸν μὲν ἔπειτα καθεῖσεν ἐπ᾽ ἠϊόεντι[10] Σκαμάνδρῳ,
Τρῶας δ᾽ ἔκλιναν[11] Δαναοί· ἕλε δ᾽ ἄνδρα ἕκαστος
ἡγεμόνων· πρῶτος δὲ ἄναξ ἀνδρῶν Ἀγαμέμνων
ἀρχὸν Ἀλιζώνων[12] Ὀδίον μέγαν ἔκβαλε δίφρου·
πρώτῳ γὰρ στρεφθέντι μεταφρένῳ[13] ἐν δόρυ πῆξεν
ὤμων μεσσηγύς[14], διὰ δὲ στήθεσφιν[15] ἔλασσε,
δούπησεν[16] δὲ πεσών, ἀράβησε[17] δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ.
Ἰδομενεὺς δ᾽ ἄρα Φαῖστον ἐνήρατο[18] Μῄονος[19] υἱὸν
Βώρου, ὃς ἐκ Τάρνης[20] ἐριβώλακος εἰληλούθει.
τὸν μὲν ἄρ᾽ Ἰδομενεὺς δουρικλυτὸς ἔγχεϊ μακρῷ
νύξ᾽[21] ἵππων ἐπιβησόμενον[22] κατὰ δεξιὸν ὦμον·
ἤριπε[23] δ᾽ ἐξ ὀχέων, στυγερὸς δ᾽ ἄρα μιν σκότος εἷλε.
Τὸν μὲν ἄρ᾽ Ἰδομενῆος ἐσύλευον[24] θεράποντες·
υἱὸν δὲ Στροφίοιο Σκαμάνδριον, αἵμονα[25] θήρης,
Ἀτρεΐδης Μενέλαος ἕλ᾽ ἔγχεϊ ὀξυόεντι,
ἐσθλὸν θηρητῆρα· δίδαξε[1] γὰρ Ἄρτεμις αὐτὴ

---

| | |
|---|---|
| [1] ἀλέομαι | ontkomen |
| [2] ὀρίνω | in beweging brengen |
| [3] θοῦρος | onstuimig |
| [4] βροτολοιγός | mensen vernietigend |
| [5] μιαιφόνος | met bloed bevlekte |
| [6] τειχεσιπλήτης | murenbestormer |
| [7] ὀρέγω | toereiken |
| [8] χάζομαι | wijken |
| [9] ἀλέομαι | vermijden, zich hoeden voor |
| [10] ἠιόεις | met hoge oevers |
| [11] κλίνω | terugdringen |
| [12] Ἀλιζῶνες οἱ | de Alizoones (volk aan de Pontus?) |
| [13] μετάφρενον | rug |
| [14] *gen.* + μεσσηγύς | midden tussen |
| [15] *instrumentalis i.p.v. een genitivus* | |
| [16] δουπέω | dreunen |
| [17] ἀραβέω | kletteren |
| [18] ἐναίρομαι | doden |
| [19] Μῄονες | de Maiones, *oude naam van de Ludiërs* |
| [20] Τάρνη | Tarnè, *misschien Sardes* |
| [21] νύσσω | stoten |
| [22] ἐπιβαίνω + *gen.* | voet zetten op |
| [23] ἐρείπω | *intr.* neerstorten |
| [24] συλεύω | van de wapenrusting beroven |
| [25] αἵμων + *gen.* | bedreven in |

βάλλειν ἄγρια[2] πάντα, τά τε τρέφει οὔρεσιν ὕλη[3]·
ἀλλ’ οὔ οἱ τότε γε χραῖσμ’[4] Ἄρτεμις ἰοχέαιρα[5],
οὐδὲ ἑκηβολίαι[6], ᾗσιν τὸ πρίν γ’ ἐκέκαστο[7]·
ἀλλά μιν Ἀτρεΐδης δουρικλειτὸς Μενέλαος
πρόσθεν[8] ἕθεν[9] φεύγοντα μετάφρενον οὔτασε[10] δουρὶ
ὤμων μεσσηγύς, διὰ δὲ στήθεσφιν ἔλασσεν,
ἤριπε δὲ πρηνής[11], ἀράβησε δὲ τεύχε’ ἐπ’ αὐτῷ.
Μηριόνης δὲ Φέρεκλον ἐνήρατο, τέκτονος[12] υἱὸν
Ἁρμονίδεω, ὃς χερσὶν ἐπίστατο δαίδαλα[13] πάντα
τεύχειν· ἔξοχα[14] γάρ μιν ἐφίλατο Παλλὰς Ἀθήνη·
ὃς καὶ Ἀλεξάνδρῳ τεκτήνατο[15] νῆας ἐΐσας
ἀρχεκάκους[16], αἳ πᾶσι κακὸν Τρώεσσι γένοντο
οἷ τ’ αὐτῷ, ἐπεὶ οὔ τι θεῶν ἐκ θέσφατα[17] ᾔδη.
τὸν μὲν Μηριόνης, ὅτε δὴ κατέμαρπτε[18] διώκων,
βεβλήκει γλουτὸν[19] κατὰ δεξιόν· ἡ δὲ διαπρὸ[20]
ἀντικρὺ[21] κατὰ κύστιν[22] ὑπ’ ὀστέον ἤλυθ’ ἀκωκή·
γνὺξ[23] δ’ ἔριπ’ οἰμώξας, θάνατος δέ μιν ἀμφεκάλυψε.
Πήδαιον δ’ ἄρ’ ἔπεφνε Μέγης, Ἀντήνορος υἱόν,
ὅς ῥα νόθος μὲν ἔην, πύκα[24] δ’ ἔτρεφε δῖα Θεανὼ
ἶσα[25] φίλοισι τέκεσσι[26], χαριζομένη[27] πόσεϊ ᾧ.
τὸν μὲν Φυλεΐδης δουρικλυτὸς ἐγγύθεν ἐλθὼν
βεβλήκει κεφαλῆς κατὰ ἰνίον[28] ὀξέϊ δουρί·
ἀντικρὺ δ’ ἀν’ ὀδόντας ὑπὸ γλῶσσαν τάμε[1] χαλκός·

---

| | |
|---|---|
| [1] διδάσκω | onderwijzen |
| [2] ἄγρια τά | wild, wilde dieren |
| [3] ὕλη | hout, bos |
| [4] χραισμέω *+ dat.* | helpen, baten, beschermen |
| [5] ἰοχέαιρα | pijlen schietend |
| [6] ἑκηβολίη | een zeker schot |
| [7] καίνυμαι | uitblinken; *perfectum heeft praesensbetekenis* |
| [8] πρόσθεν *+ gen.* | voor … (uit) |
| [9] = οὗ | |
| [10] οὐτάζω | wonden |
| [11] πρηνής | voorover |
| [12] τέκτων | bouwmeester, timmerman |
| [13] δαίδαλον | kunstwerk |
| [14] ἔξοχα | bij uitstek |
| [15] τεκταίνομαι | bouwen |
| [16] ἀρχέκακος | het onheil beginnend |
| [17] θέσφατον τό | godspraak |
| [18] καταμάρπτω | grijpen, achterhalen |
| [19] γλουτός | bil |
| [20] διαπρό | er dwars doorheen |
| [21] ἀντικρύ | door en door |
| [22] κύστις | blaas |
| [23] γνύξ | op de knieën |
| [24] πύκα | dicht, stevig, met zorg |
| [25] ἶσα *+ dat. adv.* | gelijk aan |
| [26] τέκος τό | kind |
| [27] χαρίζομαι | ter wille zijn, een dienst verlenen |
| [28] ἰνίον τό | nekspier |

ἤριπε δ᾽ ἐν κονίῃ, ψυχρὸν δ᾽ ἕλε χαλκὸν ὀδοῦσιν.
Εὐρύπυλος δ᾽ Εὐαιμονίδης Ὑψήνορα δῖον,
υἱὸν ὑπερθύμου Δολοπίονος, ὅς ῥα Σκαμάνδρου
ἀρητὴρ[2] ἐτέτυκτο[3], θεὸς δ᾽ ὣς[4] τίετο δήμῳ[5],
τὸν μὲν ἄρ᾽ Εὐρύπυλος, Εὐαίμονος ἀγλαὸς υἱός,
πρόσθεν ἕθεν φεύγοντα μεταδρομάδην[6] ἔλασ᾽ ὦμον
φασγάνῳ ἀΐξας[7], ἀπὸ δ᾽ ἔξεσε[8] χεῖρα βαρεῖαν·
αἱματόεσσα[9] δὲ χεὶρ πεδίῳ πέσε· τὸν δὲ κατ᾽ ὄσσε
ἔλλαβε πορφύρεος[10] θάνατος καὶ μοῖρα κραταιή.
Ὣς οἱ μὲν πονέοντο κατὰ κρατερὴν ὑσμίνην[11]·
Τυδεΐδην δ᾽ οὐκ ἂν γνοίης ποτέροισι μετείη,
ἠὲ μετὰ Τρώεσσιν ὁμιλέοι[12] ἦ μετ᾽ Ἀχαιοῖς.
θῦνε[13] γὰρ ἂμ πεδίον ποταμῷ πλήθοντι[14] ἐοικὼς
χειμάρρῳ[15], ὅς τ᾽ ὦκα ῥέων ἐκέδασσε[16] γεφύρας[17]·
τὸν δ᾽ οὔτ᾽ ἄρ τε γέφυραι ἐερμέναι[18] ἰσχανόωσιν[19],
οὔτ᾽ ἄρα ἕρκεα[20] ἴσχει ἀλωάων[21] ἐριθηλέων[22]
ἐλθόντ᾽ ἐξαπίνης[23], ὅτ᾽ ἐπιβρίσῃ[24] Διὸς ὄμβρος·
πολλὰ δ᾽ ὑπ᾽ αὐτοῦ ἔργα κατήριπε[25] κάλ᾽ αἰζηῶν[26]·
ὣς ὑπὸ Τυδεΐδῃ πυκιναὶ κλονέοντο[27] φάλαγγες
Τρώων, οὐδ᾽ ἄρα μιν μίμνον πολέες περ ἐόντες.
Τὸν δ᾽ ὡς οὖν ἐνόησε Λυκάονος ἀγλαὸς υἱὸς
θύνοντ᾽ ἂμ πεδίον πρὸ ἕθεν κλονέοντα φάλαγγας,
αἶψ᾽ ἐπὶ Τυδεΐδῃ ἐτιταίνετο[28] καμπύλα[1] τόξα,

---

| | |
|---|---|
| [1] τάμνω, ἔταμον | snijden |
| [2] ἀρητήρ | priester |
| [3] τεύχομαι | gemaakt worden; *perf. medium* zijn |
| [4] = ὡς θεός | |
| [5] *dativus auctoris* | |
| [6] μεταδρομάδην | erachteraan rennend |
| [7] αΐσσω | snellen |
| [8] ξέω | schaven, hakken |
| [9] αἱματόεις | bloederig |
| [10] πορφύρεος | purperen, donker |
| [11] ὑσμίνη | strijd |
| [12] ὁμιλέω | verkeren (om te steunen) |
| [13] θύνω | razen, stormen |
| [14] πλήθω | vol zijn |
| [15] χειμάρροος | gezwollen door winterregens |
| [16] κεδάννυμι | verspreiden, kapot slaan |
| [17] γέφυρα ἡ | dam |
| [18] εἴρω | aaneenrijgen |
| [19] ἰσχανάω | tegenhouden |
| [20] ἕρκος τό | omheining, heg |
| [21] ἀλωή ἡ | gaard |
| [22] ἐριθηλής | zeer bloeiend |
| [23] ἐξαπίνης *adv.* | plotseling |
| [24] ἐπιβρίθω | zwaar drukken op |
| [25] κατερείπω | *intr.* neervallen |
| [26] αἰζηός | volwassen |
| [27] κλονέω | voortdrijven |
| [28] τιταίνομαι | spannen |

καὶ βάλ᾽ ἐπαΐσσοντα τυχὼν[2] κατὰ δεξιὸν ὦμον,
θώρηκος γύαλον[3]· διὰ δ᾽ ἔπτατο[4] πικρὸς ὀϊστός,
ἀντικρὺ δὲ διέσχε[5], παλάσσετο[6] δ᾽ αἵματι θώρηξ.
τῷ δ᾽ ἐπὶ[7] μακρὸν ἄϋσε[8] Λυκάονος ἀγλαὸς υἱός·
«ὄρνυσθε, Τρῶες μεγάθυμοι, κέντορες ἵππων·
βέβληται γὰρ ἄριστος Ἀχαιῶν, οὐδέ ἕ φημι[9]
δήθ᾽[10] ἀνσχήσεσθαι κρατερὸν βέλος, εἰ ἐτεόν[11] με
ὦρσεν ἄναξ Διὸς υἱὸς ἀπορνύμενον[12] Λυκίηθεν.»
Ὣς ἔφατ᾽ εὐχόμενος· τὸν δ᾽ οὐ βέλος ὠκὺ δάμασσεν[13],
ἀλλ᾽ ἀναχωρήσας πρόσθ᾽ ἵπποιιν καὶ ὄχεσφιν
ἔστη, καὶ Σθένελον προσέφη, Καπανήϊον υἱόν·
«ὄρσο, πέπον[14] Καπανηϊάδη, καταβήσεο[15] δίφρου,
ὄφρα μοι ἐξ ὤμοιο ἐρύσσῃς πικρὸν ὀϊστόν.»
Ὣς ἄρ᾽ ἔφη, Σθένελος δὲ καθ᾽ ἵππων ἆλτο[16] χαμᾶζε,
πὰρ δὲ στὰς βέλος ὠκὺ διαμπερὲς[17] ἐξέρυσ᾽ ὤμου·
αἷμα δ᾽ ἀνηκόντιζε[18] διὰ στρεπτοῖο[19] χιτῶνος.
δὴ τότ᾽ ἔπειτ᾽ ἠρᾶτο[20] βοὴν ἀγαθὸς Διομήδης·
«κλῦθί μευ, αἰγιόχοιο Διὸς τέκος, Ἀτρυτώνη[21],
εἴ ποτέ μοι καὶ πατρὶ φίλα φρονέουσα παρέστης
δηΐῳ[22] ἐν πολέμῳ, νῦν αὖτ᾽ ἐμὲ φῖλαι[23], Ἀθήνη·
δὸς δέ τέ μ᾽ ἄνδρα ἑλεῖν καὶ ἐς ὁρμὴν[24] ἔγχεος ἐλθεῖν,
ὅς μ᾽ ἔβαλε φθάμενος[25] καὶ ἐπεύχεται[26], οὐδέ μέ φησι
δηρὸν[27] ἔτ᾽ ὄψεσθαι λαμπρὸν φάος[28] ἠελίοιο.»

---

| | |
|---|---|
| [1] καμπύλος | gebogen |
| [2] τυγχάνω | raken |
| [3] γύαλον | welving |
| [4] πέτομαι | vliegen |
| [5] διέχω | er doorheen gaan |
| [6] παλάσσω | bezoedelen |
| [7] *dat* + ἐπὶ (*in postpostie*) | om |
| [8] αὔω | schreeuwen |
| [9] φημι | zeggen, denken |
| [10] δηθά | al lang |
| [11] ἐτεόν | werkelijk |
| [12] ἀπόρνυμαι | opbreken |
| [13] δάμνημι | bedwingen |
| [14] πέπων | beste |
| [15] *aoristos mixtus (sigmatisch en thematisch)* | |
| [16] ἅλλομαι | springen |
| [17] διαμπερές | in zijn gehele lengte |
| [18] ἀνακοντίζω | omhoog schieten |
| [19] στρεπτός | stevig gedraaid (*van draden gezegd*) |
| [20] ἀράομαι | bidden |
| [21] Ἀτρυτώνη | dochter van de onvermoeibare |
| [22] δήιος | meedogenloos |
| [23] φιλέομαι | zijn genegenheid betonen |
| [24] ὁρμή | aanval, reikwijdte |
| [25] φθάνω | eerder zijn |
| [26] ἐπεύχομαι | zich beroemen op |
| [27] δηρόν | lange tijd |
| [28] φάος τό | het licht |

Ὣς ἔφατ᾽ εὐχόμενος· τοῦ δ᾽ ἔκλυε Παλλὰς Ἀθήνη,
γυῖα δ᾽ ἔθηκεν ἐλαφρά[1], πόδας καὶ χεῖρας ὕπερθεν[2]·
ἀγχοῦ δ᾽ ἱσταμένη ἔπεα πτερόεντα προσηύδα·
«θαρσῶν νῦν, Διόμηδες, ἐπὶ Τρώεσσι μάχεσθαι[3]·
ἐν γάρ τοι στήθεσσι μένος πατρώϊον ἧκα
ἄτρομον[4], οἷον ἔχεσκε σακέσπαλος[5] ἱππότα Τυδεύς·
ἀχλὺν[6] δ᾽ αὖ τοι ἀπ᾽ ὀφθαλμῶν ἕλον, ἣ πρὶν ἐπῆεν,
ὄφρ᾽ εὖ γιγνώσκῃς ἠμὲν[7] θεὸν ἠδὲ καὶ ἄνδρα.
τῶ[8] νῦν, αἴ κε θεὸς πειρώμενος[9] ἐνθάδ᾽ ἵκηται,
μή τι σύ γ᾽ ἀθανάτοισι θεοῖς ἀντικρὺ[10] μάχεσθαι[11]
τοῖς ἄλλοις· ἀτὰρ εἴ κε Διὸς θυγάτηρ Ἀφροδίτη
ἔλθῃσ᾽ ἐς πόλεμον, τήν γ᾽ οὐτάμεν[12] ὀξέϊ χαλκῷ.»
Ἡ μὲν ἄρ᾽ ὣς εἰποῦσ᾽ ἀπέβη γλαυκῶπις Ἀθήνη,
Τυδεΐδης δ᾽ ἐξαῦτις ἰὼν προμάχοισιν ἐμίχθη,
καὶ πρίν περ θυμῷ μεμαὼς Τρώεσσι μάχεσθαι·
δὴ τότε μιν τρὶς τόσσον ἕλεν μένος, ὥς τε λέοντα,
ὅν ῥά τε ποιμὴν ἀγρῷ[13] ἐπ᾽ εἰροπόκοις[14] ὀΐεσσι
χραύσῃ[15] μέν τ᾽ αὐλῆς[16] ὑπεράλμενον[17] οὐδὲ δαμάσσῃ·
τοῦ μέν τε σθένος ὦρσεν, ἔπειτα δέ τ᾽ οὐ προσαμύνει[18],
ἀλλὰ κατὰ σταθμοὺς[19] δύεται, τὰ δ᾽ ἐρῆμα[20] φοβεῖται·
αἱ μέν τ᾽ ἀγχιστῖναι[21] ἐπ᾽ ἀλλήλῃσι κέχυνται,
αὐτὰρ ὁ ἐμμεμαὼς[22] βαθέης[23] ἐξάλλεται αὐλῆς·
ὣς μεμαὼς Τρώεσσι μίγη[24] κρατερὸς Διομήδης.
Ἔνθ᾽ ἕλεν Ἀστύνοον καὶ Ὑπείρονα, ποιμένα λαῶν,
τὸν μὲν ὑπὲρ μαζοῖο βαλὼν χαλκήρεϊ δουρί,
τὸν δ᾽ ἕτερον ξίφεϊ μεγάλῳ κληῗδα[25] παρ᾽ ὦμον

---

| | |
|---|---|
| [1] ἐλαφρός | vlug, snel,licht |
| [2] ὕπερθεν | daarboven |
| [3] *inf. pro imperativo* | |
| [4] ἄτρομος | zonder te trillen |
| [5] σακέσπαλος | met het schild zwaaiend |
| [6] ἀχλύς ἡ | nevel |
| [7] ἠμὲν ... ἠδὲ ... | zowel … als ook … |
| [8] τῶ | dan |
| [9] πειράομαι | beproeven (*jou om met hem te vechten*) |
| [10] ἀντικρὺ | recht erop af, van man tegen man |
| [11] *inf. pro imperativo* | |
| [12] οὐτάζω, aor. II οὖτα | verwonden; *inf. pro imperativo* |
| [13] ἀγρός | akker; *dat. loci* |
| [14] εἰροπόκος | met een vacht van wol |
| [15] χραύω | licht wonden |
| [16] αυλή | hof(omheining) |
| [17] ὑπεράλλομαι | springen over |
| [18] προσαμύνω | bijstand verlenen |
| [19] στάθμος | stal, deurpost |
| [20] ἐρῆμος | verlaten, eenzaam |
| [21] ἀγχιστῖνος | dichtbij elkaar |
| [22] ἐμμεμαώς | vol vuur, heftig |
| [23] βαθύς | diep (de hof ligt diep t.a.v. de omheining) |
| [24] μίσγομαι | zich begeven onder, slaags raken met |
| [25] κληίς, -ίδος | sleutelbeen |

πλῆξ᾽, ἀπὸ δ᾽ αὐχένος[1] ὦμον ἐέργαθεν[2] ἠδ᾽ ἀπὸ νώτου[3].
τοὺς μὲν ἔασ᾽, ὁ δ᾽ Ἄβαντα μετῴχετο καὶ Πολύιδον,
υἱέας Εὐρυδάμαντος, ὀνειροπόλοιο[4] γέροντος·
τοῖς οὐκ ἐρχομένοις ὁ γέρων ἐκρίνατ᾽[5] ὀνείρους,
ἀλλά σφεας κρατερὸς Διομήδης ἐξενάριξε[6]·
βῆ δὲ μετὰ Ξάνθον τε Θόωνά τε, Φαίνοπος υἷε,
ἄμφω τηλυγέτω[7]· ὁ δὲ τείρετο[8] γήραϊ[9] λυγρῷ,
υἱὸν δ᾽ οὐ τέκετ᾽ ἄλλον ἐπὶ κτεάτεσσι[10] λιπέσθαι.
ἔνθ᾽ ὅ γε τοὺς ἐνάριζε, φίλον δ᾽ ἐξαίνυτο[11] θυμὸν
ἀμφοτέρω, πατέρι δὲ γόον καὶ κήδεα λυγρὰ
λεῖπ᾽, ἐπεὶ οὐ ζώοντε μάχης ἐκνοστήσαντε[12]
δέξατο· χηρωσταὶ[13] δὲ διὰ κτῆσιν[14] δατέοντο[15].
Ἔνθ᾽ υἷας Πριάμοιο δύω λάβε Δαρδανίδαο
εἰν ἑνὶ δίφρῳ ἐόντας, Ἐχέμμονά τε Χρομίον τε.
ὡς δὲ λέων ἐν βουσὶ θορὼν[16] ἐξ αὐχένα ἄξῃ[17]
πόρτιος[18] ἠὲ βοός, ξύλοχον[19] κάτα βοσκομενάων[20],
ὣς τοὺς ἀμφοτέρους ἐξ ἵππων Τυδέος υἱὸς
βῆσε κακῶς ἀέκοντας, ἔπειτα δὲ τεύχε᾽ ἐσύλα[21]·
ἵππους δ᾽ οἷς ἑτάροισι δίδου μετὰ νῆας ἐλαύνειν.
Τὸν δ᾽ ἴδεν Αἰνείας ἀλαπάζοντα[22] στίχας ἀνδρῶν,
βῆ δ᾽ ἴμεν ἄν τε μάχην καὶ ἀνὰ κλόνον[23] ἐγχειάων[24]
Πάνδαρον[25] ἀντίθεον διζήμενος[26], εἴ που[27] ἐφεύροι·
εὗρε Λυκάονος υἱὸν ἀμύμονά τε κρατερόν τε,

---

[1] αὐχήν — hals
[2] ἔργω — scheiden; *intensiverend imperf.* ἐέργαθεν
[3] νῶτον — rug
[4] ὀνειροπόλος — droomuitleggend
[5] κρίνομαι — uitleggen
[6] ἐξεναρίζω — doden
[7] τηλύγετος — laat geboren, pas volwassen
[8] τείρω — kwellen
[9] γῆρας τό — ouderdom
[10] κτέαρ τό, κτέατα τά — bezit, have
[11] ἐξαίνυμαι — ontnemen
[12] ἐκνοστέω — terugkeren
[13] χηρωστής — verre verwant
[14] κτῆσις — bezit
[15] διαδατέομαι — onder elkaar verdelen
[16] θρώσκω — springen
[17] ἐξ ... ἄγνυμι — geheel verbrijzelen
[18] πόρτις — vaars
[19] ξύλοχος — leger, schuilplaats (van wilde dieren)
[20] βόσκομαι — gehoed worden, grazen
[21] συλάω — roven
[22] ἀλαπάζω — vernietigen
[23] κλόνος — gewoel
[24] ἐγχείη — lans
[25] *Pandaros was de zoon van Lukaoon, aanvoerder van de Lukiërs; hij komt uit Zeleia aan de voet van de Ida in de Troas. In 211 noemt hij zijn mannen wwel Trooës, de naam voor de bewoners van het grondgebied van Troje.*
[26] δίζημαι — zoeken
[27] εἴ που *+ coni./opt.* — om te zien of misschien

στῆ δὲ πρόσθ᾽ αὐτοῖο ἔπος τέ μιν ἀντίον ηὔδα˙
«Πάνδαρε, ποῦ τοι τόξον ἰδὲ πτερόεντες ὀϊστοὶ
καὶ κλέος; ᾧ οὔ τίς τοι ἐρίζεται[1] ἐνθάδε γ᾽ ἀνήρ,
οὐδέ τις ἐν Λυκίῃ σέο γ᾽ εὔχεται[2] εἶναι ἀμείνων.
ἀλλ᾽ ἄγε τῷδ᾽ ἔφες[3] ἀνδρὶ βέλος, Διὶ χεῖρας ἀνασχών[4],
ὅς τις ὅδε[5] κρατέει καὶ δὴ κακὰ πολλὰ ἔοργε[6]
Τρῶας, ἐπεὶ πολλῶν τε καὶ ἐσθλῶν γούνατ᾽ ἔλυσεν˙
εἰ μή τις θεός ἐστι κοτεσσάμενος[7] Τρώεσσιν
ἱρῶν μηνίσας[8]˙ χαλεπὴ δὲ θεοῦ ἔπι[9] μῆνις.»
Τὸν δ᾽ αὖτε προσέειπε Λυκάονος ἀγλαὸς υἱός˙
«Αἰνεία, Τρώων βουληφόρε χαλκοχιτώνων,
Τυδεΐδῃ μιν ἔγωγε δαΐφρονι πάντα ἐΐσκω[10],
ἀσπίδι γιγνώσκων αὐλώπιδί[11] τε τρυφαλείῃ[12],
ἵππους τ᾽ εἰσορόων˙ σάφα δ᾽ οὐκ οἶδ᾽ εἰ θεός ἐστιν.
εἰ δ᾽ ὅ γ᾽ ἀνὴρ ὅν φημι, δαΐφρων Τυδέος υἱός,
οὐχ ὅ γ᾽ ἄνευθε θεοῦ τάδε μαίνεται, ἀλλά τις ἄγχι[13]
ἕστηκ᾽ ἀθανάτων, νεφέλῃ εἰλυμένος[14] ὤμους,
ὃς τούτου[15] βέλος ὠκὺ κιχήμενον[16] ἔτραπεν ἄλλῃ[17].
ἤδη γάρ οἱ ἐφῆκα βέλος, καί μιν βάλον ὦμον
δεξιὸν ἀντικρὺ διὰ θώρηκος γυάλοιο˙
καί μιν ἔγωγ᾽ ἐφάμην Ἀϊδωνῆϊ[18] προϊάψειν[19],
ἔμπης[20] δ᾽ οὐκ ἐδάμασσα˙ θεός νύ τίς ἐστι κοτήεις[21].
ἵπποι δ᾽ οὐ παρέασι καὶ ἅρματα, τῶν κ᾽ ἐπιβαίην˙
ἀλλά που ἐν μεγάροισι Λυκάονος ἕνδεκα δίφροι
καλοὶ πρωτοπαγεῖς[22] νεοτευχέες[23]˙ ἀμφὶ δὲ πέπλοι[24]
πέπτανται[25]˙ παρὰ δέ σφιν ἑκάστῳ δίζυγες[1] ἵπποι

---

| | |
|---|---|
| [1] ἐρίζομαι | twisten, wedijveren |
| [2] εὔχομαι | zich beroemen |
| [3] ἐφίημι | afschieten op |
| [4] ἀνέχω | omhoog houden |
| [5] ὅς τις ὅδε | als wie hij hier ook; wie hij hier ook is die |
| [6] ἔρδω, *pf.* ἔοργα | doen |
| [7] κοτέω | wrokken, boos zijn |
| [8] μηνίζω *+ gen.* | boos zijn om |
| [9] ἔπειμι | daarbij zijn |
| [10] ἐΐσκω | gelijk |
| [11] αὐλῶπις | met viziergaten |
| [12] τρυφάλεια | helm met vier helmkammen |
| [13] ἄγχι *adv.* | dichtbij |
| [14] ἐλύω | bedekken |
| [15] *gen. separativus*: van hem weg | |
| [16] κιχάνω | treffen; *part. aor. met ingressief aspect*: toen hij ging treffen |
| [17] ἄλλῃ | ergens anders heen |
| [18] Ἀιδονεύς | Hades |
| [19] προιάπτω | toewerpen |
| [20] ἔμπης | toch |
| [21] κοτήεις | vol wrok |
| [22] πρωτοπαγής | pas getimmerd |
| [23] νεοτευχής | pas gemaakt |
| [24] πέπλος | dekkleed |
| [25] πετάννυμι | uitspreiden |

ἑστᾶσι κρῖ[2] λευκὸν ἐρεπτόμενοι[3] καὶ ὀλύρας[4].
ἦ μέν μοι μάλα πολλὰ γέρων αἰχμητὰ Λυκάων
ἐρχομένῳ ἐπέτελλε δόμοις ἔνι ποιητοῖσιν[5]·
ἵπποισίν με κέλευε καὶ ἅρμασιν ἐμβεβαῶτα
ἀρχεύειν[6] Τρώεσσι κατὰ κρατερὰς ὑσμίνας·
ἀλλ᾽ ἐγὼ οὐ πιθόμην —ἦ τ᾽ ἂν πολὺ κέρδιον ἦεν—
ἵππων φειδόμενος[7], μή μοι δευοίατο[8] φορβῆς[9]
ἀνδρῶν εἰλομένων[10], εἰωθότες ἔδμεναι[11] ἄδην[12].
ὣς λίπον, αὐτὰρ πεζὸς ἐς Ἴλιον εἰλήλουθα
τόξοισιν πίσυνος[13]· τὰ δέ μ᾽ οὐκ ἄρ᾽ ἔμελλον ὀνήσειν[14].
ἤδη γὰρ δοιοῖσιν[15] ἀριστήεσσιν ἐφῆκα,
Τυδεΐδῃ τε καὶ Ἀτρεΐδῃ, ἐκ δ᾽ ἀμφοτέροιιν
ἀτρεκὲς[16] αἷμ᾽ ἔσσευα[17] βαλών, ἤγειρα[18] δὲ μᾶλλον.
τῶ[19] ῥα κακῇ αἴσῃ[20] ἀπὸ πασσάλου[21] ἀγκύλα[22] τόξα
ἤματι τῷ[23] ἑλόμην ὅτε Ἴλιον εἰς ἐρατεινὴν
ἡγεόμην Τρώεσσι, φέρων χάριν Ἕκτορι δίῳ.
εἰ δέ κε νοστήσω καὶ ἐσόψομαι ὀφθαλμοῖσι
πατρίδ᾽ ἐμὴν ἄλοχόν τε καὶ ὑψερεφὲς[24] μέγα δῶμα,
αὐτίκ᾽ ἔπειτ᾽ ἀπ᾽ ἐμεῖο κάρη τάμοι ἀλλότριος[25] φώς[26],
εἰ μὴ ἐγὼ τάδε τόξα φαεινῷ ἐν πυρὶ θείην
χερσὶ διακλάσσας[27]· ἀνεμώλια[28] γάρ μοι ὀπηδεῖ[29].»
Τὸν δ᾽ αὖτ᾽ Αἰνείας Τρώων ἀγὸς[1] ἀντίον ηὔδα·

---

| | |
|---|---|
| [1] δίζυξ | tweespan |
| [2] κρῖ τό | spelt |
| [3] ἐρέπτομαι | vreten |
| [4] ὄλυραι | gerst |
| [5] ποιητός | stevig gemaakt |
| [6] ἀρχεύω | voorgaan |
| [7] φείδομαι *+ gen.* | sparen |
| [8] δεύομαι *+ gen.* | zijn zonder, gebrek hebben aan |
| [9] φορβή | voedsel |
| [10] ἔλλω | opeen dringen |
| [11] ἔδω | eten |
| [12] ἄδην | tot verzadiging toe, naar hartelust |
| [13] πίσυνος *+ dat.* | vertrouwend op |
| [14] ὀνίνημι | baten |
| [15] δοιοί | twee |
| [16] ἀτρεκὲς | echt, werkelijk |
| [17] σεύω | drijven, jagen |
| [18] ἐγείρω | aanvuren; *sc. Tudeus' en Atreus' zoon* |
| [19] τῶ | in dat geval, daarom |
| [20] αἶσα | lot |
| [21] πάσσαλος | houten pen |
| [22] ἀγκύλος | gebogen |
| [23] ἤματι τῷ i.p.v. τῷ ἤματι | |
| [24] ὑψερεφής | met een hoog dak |
| [25] ἀλλότριος | vreemd |
| [26] φώς ὁ, φωτος | man |
| [27] διακλάω | verbrijzelen |
| [28] ἀνεμώλιος | winderig, vergeefs |
| [29] ὀπηδέω *+ dat.* | vergezellen |

«μὴ δὴ οὕτως ἀγόρευε· πάρος[2] δ᾽ οὐκ ἔσσεται ἄλλως[3],
πρίν γ᾽ ἐπὶ[4] νὼ τῷδ᾽ ἀνδρὶ σὺν ἵπποισιν καὶ ὄχεσφιν
ἀντιβίην[5] ἐλθόντε σὺν ἔντεσι[6] πειρηθῆναι[7].
ἀλλ᾽ ἄγ᾽ ἐμῶν ὀχέων[8] ἐπιβήσεο[9], ὄφρα ἴδηαι
οἷοι Τρώϊοι ἵπποι, ἐπιστάμενοι πεδίοιο[10]
κραιπνὰ[11] μάλ᾽ ἔνθα καὶ ἔνθα διωκέμεν ἠδὲ φέβεσθαι[12]·
τὼ καὶ νῶϊ πόλινδε σαώσετον[13], εἴ περ ἂν αὖτε
Ζεὺς ἐπὶ Τυδεΐδῃ Διομήδεϊ κῦδος ὀρέξῃ.
ἀλλ᾽ ἄγε νῦν μάστιγα[14] καὶ ἡνία[15] σιγαλόεντα
δέξαι, ἐγὼ δ᾽ ἵππων ἀποβήσομαι, ὄφρα μάχωμαι·
ἠὲ σὺ τόνδε δέδεξο[16], μελήσουσιν δ᾽ ἐμοὶ ἵπποι.»
Τὸν δ᾽ αὖτε προσέειπε Λυκάονος ἀγλαὸς υἱός·
Αἰνεία, σὺ μὲν αὐτὸς ἔχ᾽ ἡνία καὶ τεὼ[17] ἵππω·
μᾶλλον ὑφ᾽ ἡνιόχῳ[18] εἰωθότι καμπύλον[19] ἅρμα
οἴσετον, εἴ περ ἂν αὖτε φεβώμεθα Τυδέος υἱόν·
μὴ τὼ μὲν δείσαντε ματήσετον[20], οὐδ᾽ ἐθέλητον
ἐκφερέμεν πολέμοιο, τεὸν φθόγγον[21] ποθέοντε,
νῶϊ δ᾽ ἐπαΐξας μεγαθύμου Τυδέος υἱὸς
αὐτώ[22] τε κτείνῃ καὶ ἐλάσσῃ[23] μώνυχας ἵππους.
ἀλλὰ σύ γ᾽ αὐτὸς ἔλαυνε τέ᾽ ἅρματα καὶ τεὼ ἵππω,
τόνδε δ᾽ ἐγὼν ἐπιόντα δεδέξομαι ὀξέϊ δουρί.»
Ὣς ἄρα φωνήσαντες, ἐς ἅρματα ποικίλα βάντες,
ἐμμεμαῶτ᾽ ἐπὶ Τυδεΐδῃ ἔχον[24] ὠκέας ἵππους.
τοὺς δὲ ἴδε Σθένελος, Καπανήϊος ἀγλαὸς υἱός,
αἶψα δὲ Τυδεΐδην ἔπεα πτερόεντα προσηύδα·
«Τυδεΐδη Διόμηδες, ἐμῷ κεχαρισμένε[25] θυμῷ,

---

[1] ἀγός ὁ — aanvoerder
[2] πάρος — eerder
[3] ἄλλως — anders, beter
[4] ἐπὶ: *los verbonden in hyperbaton met volgende dativus*
[5] ἀντιβίην — aanvallend, vijandig
[6] ἔντεα τά — wapens
[7] πειράομαι — beproeven, zich meten met
[8] ὄχος τό — wagen
[9] *aor. mixtus*
[10] *gen. loc.*
[11] κραιπνὰ — snel
[12] φέβομαι — vluchten
[13] σαόω — redden in veiligheid brengen
[14] μάστιξ — zweep
[15] ἡνία τά — teugels
[16] δέχομαι — wachten op
[17] τεός — jouw
[18] ἡνίοχος — menner
[19] καμπύλος — gekromd, gebogen
[20] ματάω — dralen
[21] φθόγγος — stemgeluid
[22] *bij* νῶϊ
[23] ἐλαύνω — wegdrijven
[24] ἔχω — mennen
[25] κεχαρισμένος — geliefd

ἄνδρ᾽ ὁρόω κρατερὼ ἐπὶ[1] σοὶ μεμαῶτε μάχεσθαι,
ἶν᾽[2] ἀπέλεθρον[3] ἔχοντας· ὁ μὲν τόξων ἐῢ εἰδώς[4],
Πάνδαρος, υἱὸς δ᾽ αὖτε Λυκάονος εὔχεται εἶναι·
Αἰνείας δ᾽ υἱὸς μὲν ἀμύμονος Ἀγχίσαο
εὔχεται ἐκγεγάμεν, μήτηρ δέ οἵ ἐστ᾽ Ἀφροδίτη.
ἀλλ᾽ ἄγε δὴ χαζώμεθ᾽ ἐφ᾽ ἵππων, μηδέ μοι οὕτω
θῦνε[5] διὰ προμάχων, μή πως φίλον ἦτορ ὀλέσσῃς.»
Τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη κρατερὸς Διομήδης·
«μή τι φόβονδ᾽[6] ἀγόρευ᾽, ἐπεὶ οὐδὲ σὲ πεισέμεν οἴω.
οὐ γάρ μοι γενναῖον ἀλυσκάζοντι[7] μάχεσθαι
οὐδὲ καταπτώσσειν[8]· ἔτι μοι μένος ἔμπεδόν[9] ἐστιν·
ὀκνείω[10] δ᾽ ἵππων ἐπιβαινέμεν, ἀλλὰ καὶ αὔτως
ἀντίον εἶμ᾽ αὐτῶν· τρεῖν[11] μ᾽ οὐκ ἐᾷ Παλλὰς Ἀθήνη.
τούτω δ᾽ οὐ πάλιν αὖτις ἀποίσετον ὠκέες ἵπποι
ἄμφω ἀφ᾽ ἡμείων, εἴ γ᾽ οὖν ἕτερός γε φύγῃσιν.
ἄλλο δέ τοι ἐρέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
αἴ κέν μοι πολύβουλος[12] Ἀθήνη κῦδος[13] ὀρέξῃ
ἀμφοτέρω κτεῖναι, σὺ δὲ τούσδε μὲν ὠκέας ἵππους
αὐτοῦ ἐρυκακέειν[14] ἐξ ἄντυγος[15] ἡνία τείνας[16],
Αἰνείαο[17] δ᾽ ἐπαΐξαι[18] μεμνημένος ἵππων,
ἐκ δ᾽ ἐλάσαι Τρώων μετ᾽ ἐϋκνήμιδας Ἀχαιούς.
τῆς γάρ τοι γενεῆς[19], ἧς Τρωΐ περ εὐρύοπα[20] Ζεὺς
δῶχ᾽ υἷος ποινὴν[21] Γανυμήδεος, οὕνεκ᾽ ἄριστοι
ἵππων ὅσσοι ἔασιν ὑπ᾽[22] ἠῶ τ᾽ ἠέλιόν τε,
τῆς γενεῆς ἔκλεψεν ἄναξ ἀνδρῶν Ἀγχίσης,
λάθρῃ[23] Λαομέδοντος ὑποσχὼν[24] θήλεας ἵππους·

| | |
|---|---|
| [1] ἐπὶ *+ dat.* | tegen |
| [2] ἴς ἡ | kracht |
| [3] ἀπέλεθρος | onmetelijk |
| [4] ἐῢ εἰδώς *+ gen.* | deskundig op het gebied van |
| [5] θύνω | stormen |
| [6] φόβονδε | ter vlucht |
| [7] ἀλυσκάζω | zich hoeden, vermijden |
| [8] καταπτώσσω` | neerduiken |
| [9] ἔμπεδός | onwrikbaar |
| [10] ὀκνείω | aarzelen |
| [11] τρέω | bang zijn, vluchten |
| [12] πολύβουλος | schrander |
| [13] κῦδος | roem, luister, eer |
| [14] ἐρυκακέω | tegenhouden |
| [15] ἄντυξ | wagenrand |
| [16] τείνω | strak vastbinden |
| [17] *hoort bij* ἵππων | |
| [18] ἐπαΐσσω *+ gen.* | afspringen op |
| [19] γενεή | geslacht; *gen. separativus evenals het volgende relativum* |
| [20] εὐρύοπα | luid donderend |
| [21] ποινή | straf, vergoeding |
| [22] ὑπό *+ acc.* | onder (*plaatsbepaling van uitgestrektheid*) |
| [23] λάθρῃ *+ gen.* | in het geheim voor |
| [24] ὑπέχω | houden onder |

τῶν οἱ ἓξ ἐγένοντο ἐνὶ μεγάροισι γενέθλη[1].
τοὺς μὲν τέσσαρας αὐτὸς ἔχων ἀτίταλλ’[2] ἐπὶ φάτνῃ[3],
τὼ δὲ δύ᾽ Αἰνείᾳ δῶκεν, μήστωρε[4] φόβοιο.
εἰ τούτω κε λάβοιμεν, ἀροίμεθά κε κλέος ἐσθλόν.»
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
τὼ δὲ τάχ᾽ ἐγγύθεν ἦλθον ἐλαύνοντ᾽ ὠκέας ἵππους.
τὸν πρότερος προσέειπε Λυκάονος ἀγλαὸς υἱός·
«καρτερόθυμε, δαΐφρον, ἀγαυοῦ Τυδέος υἱέ,
ἦ μάλα σ᾽ οὐ βέλος ὠκὺ δαμάσσατο, πικρὸς ὀϊστός·
νῦν αὖτ᾽ ἐγχείῃ πειρήσομαι, αἴ κε τύχωμι[5].»
Ἦ ῥα, καὶ ἀμπεπαλὼν[6] προΐει δολιχόσκιον ἔγχος
καὶ βάλε Τυδεΐδαο κατ᾽ ἀσπίδα· τῆς δὲ διαπρὸ
αἰχμὴ χαλκείη πταμένη θώρηκι πελάσθη[7]·
τῷ δ᾽ ἐπὶ[8] μακρὸν ἄϋσε Λυκάονος ἀγλαὸς υἱός·
«βέβληαι κενεῶνα[9] διαμπερές, οὐδέ σ᾽ ὀΐω
δηρὸν ἔτ᾽ ἀνσχήσεσθαι[10]· ἐμοὶ δὲ μέγ᾽ εὖχος ἔδωκας.»
Τὸν δ᾽ οὐ ταρβήσας[11] προσέφη κρατερὸς Διομήδης·
«ἤμβροτες[12] οὐδ᾽ ἔτυχες· ἀτὰρ οὐ μὲν σφῶΐ γ᾽ ὀΐω
πρίν γ᾽ ἀποπαύσεσθαι πρίν γ᾽ ἢ ἕτερόν γε πεσόντα
αἵματος ἆσαι Ἄρηα[13], ταλαύρινον[14] πολεμιστήν.»
Ὣς φάμενος προέηκε· βέλος δ᾽ ἴθυνεν[15] Ἀθήνη
ῥῖνα[16] παρ᾽ ὀφθαλμόν, λευκοὺς δ᾽ ἐπέρησεν[17] ὀδόντας.
τοῦ δ᾽ ἀπὸ μὲν γλῶσσαν πρυμνὴν[18] τάμε χαλκὸς ἀτειρής[19],
αἰχμὴ δ᾽ ἐξελύθη παρὰ νείατον[20] ἀνθερεῶνα[21]·
ἤριπε δ᾽ ἐξ ὀχέων, ἀράβησε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ
αἰόλα[22] παμφανόωντα, παρέτρεσσαν[23] δέ οἱ ἵπποι
ὠκύποδες· τοῦ δ᾽ αὖθι λύθη ψυχή τε μένος τε.

---

[1] γενέθλη — kroost; *praedicatief*
[2] ἀτιτάλλω — opfokken
[3] φάτνη — ruif
[4] μήστωρ — verwekker
[5] = τύχω
[6] ἀναπάλλω — omhoogzwaaien
[7] πελάζομαι *+ dat.* — naderen
[8] *zie vs. 101*
[9] κενεών — onderlijf
[10] ἀνέχομαι — uithouden
[11] ταρβέω — bang zijn
[12] ἁμαρτάνω, *aor.* ἤμβροτον — missen
[13] ἄω *+ gen. part.* — verzadigen met
[14] ταλαύρινος — schilddragend
[15] ἰθύνω *+ acc.* — richten op
[16] ῥίς ἡ — neus
[17] περάω — gaan door
[18] πρυμνός — achterst
[19] ἀτειρής — onslijtbaar, hard
[20] νείατος — onderst
[21] ἀνθερεών — kin
[22] αἰόλος — flikkerend
[23] παρατρέω — schichtig opzij springen

Αἰνείας δ᾽ ἀπόρουσε[1] σὺν ἀσπίδι δουρί τε μακρῷ,
δείσας μή πώς οἱ ἐρυσαίατο νεκρὸν Ἀχαιοί.
ἀμφὶ δ᾽ ἄρ᾽ αὐτῷ βαῖνε λέων ὣς ἀλκὶ[2] πεποιθώς,
πρόσθε δέ οἱ δόρυ τ᾽ ἔσχε καὶ ἀσπίδα πάντοσ᾽ ἐΐσην,
τὸν κτάμεναι μεμαὼς ὅς τις τοῦ γ᾽ ἀντίος[3] ἔλθοι,
σμερδαλέα[4] ἰάχων[5]· ὁ δὲ χερμάδιον[6] λάβε χειρὶ
Τυδεΐδης, μέγα ἔργον, ὃ οὐ δύο γ᾽ ἄνδρε φέροιεν,
οἷοι νῦν βροτοί εἰσ᾽· ὁ δέ μιν ῥέα[7] πάλλε[8] καὶ οἶος.
τῷ βάλεν Αἰνείαο κατ᾽ ἰσχίον[9], ἔνθα τε μηρὸς
ἰσχίῳ ἐνστρέφεται[10], κοτύλην[11] δέ τέ μιν καλέουσι·
θλάσσε[12] δέ οἱ κοτύλην, πρὸς δ᾽ ἄμφω ῥῆξε[13] τένοντε[14]·
ὦσε[15] δ᾽ ἀπὸ ῥινὸν[16] τρηχὺς λίθος· αὐτὰρ ὅ γ᾽ ἥρως
ἔστη γνὺξ ἐριπὼν[17] καὶ ἐρείσατο[18] χειρὶ παχείῃ
γαίης· ἀμφὶ δὲ ὄσσε κελαινὴ νὺξ ἐκάλυψε.
Καί νύ κεν ἔνθ᾽ ἀπόλοιτο ἄναξ ἀνδρῶν Αἰνείας,
εἰ μὴ ἄρ᾽ ὀξὺ νόησε Διὸς θυγάτηρ Ἀφροδίτη,
μήτηρ, ἥ μιν ὑπ᾽ Ἀγχίσῃ τέκε βουκολέοντι[19]·
ἀμφὶ δ᾽ ἑὸν[20] φίλον υἱὸν ἐχεύατο πήχεε[21] λευκώ,
πρόσθε δέ οἱ πέπλοιο φαεινοῦ πτύγμ᾽[22] ἐκάλυψεν,
ἕρκος[23] ἔμεν[24] βελέων, μή τις Δαναῶν ταχυπώλων
χαλκὸν ἐνὶ στήθεσσι βαλὼν ἐκ θυμὸν ἕλοιτο.
Ἡ μὲν ἑὸν φίλον υἱὸν ὑπεξέφερεν πολέμοιο·
οὐδ᾽ υἱὸς Καπανῆος ἐλήθετο[25] συνθεσιάων[26]
τάων ἃς ἐπέτελλε βοὴν ἀγαθὸς Διομήδης,
ἀλλ᾽ ὅ γε τοὺς μὲν ἑοὺς ἠρύκακε μώνυχας ἵππους

| | |
|---|---|
| [1] ἀπορούω | afspringen van |
| [2] ἀλκή | weerkracht |
| [3] ἀντίος *+ gen.* | tegemoet |
| [4] σμερδαλέα *adv.* | vreselijk |
| [5] ἰάχω | schreeuwen |
| [6] χερμάδιον | werpsteen |
| [7] ῥέα | gemakkelijk |
| [8] πάλλω | zaaien |
| [9] ἰσχίον | heup |
| [10] ἐνστρέφομαι | draaien |
| [11] κοτύλη | heuppan |
| [12] θλάω | breken, verbrijzelen |
| [13] ῥήγνυμι | breken |
| [14] τένων | pees |
| [15] ὠθεω | stoten |
| [16] ῥινός | huid |
| [17] ἐρείπω | *intr.* neerstorten |
| [18] ἐρείδομαι *+ dat.+ gen.* | zich stutten op … op (vanaf) |
| [19] βουκολέω | koeherder zijn, runderen hoeden |
| [20] ἑός | zijn |
| [21] πῆχυς | (onder)arm |
| [22] πτύγμα | plooien, het gevouwene |
| [23] ἕρκος | wal |
| [24] *epexegetische infinitivus*: om te …; = εἶναι | |
| [25] λήθομαι *+ gen.* | vergeten |
| [26] συνθεσίη ἡ *pl.* | verdrag |

νόσφιν ἀπὸ φλοίσβου[1], ἐξ ἄντυγος ἡνία τείνας,
Αἰνείαο δ᾽ ἐπαΐξας καλλίτριχας ἵππους
ἐξέλασε Τρώων μετ᾽ ἐϋκνήμιδας Ἀχαιούς.
δῶκε δὲ Δηϊπύλῳ, ἑτάρῳ φίλῳ, ὃν περὶ πάσης
τῖεν ὁμηλικίης[2], ὅτι οἱ φρεσὶν ἄρτια[3] ᾔδη,
νηυσὶν ἔπι γλαφυρῇσιν ἐλαυνέμεν· αὐτὰρ ὅ γ᾽ ἥρως
ὧν ἵππων ἐπιβὰς ἔλαβ᾽ ἡνία σιγαλόεντα,
αἶψα δὲ Τυδεΐδην μέθεπε[4] κρατερώνυχας ἵππους
ἐμμεμαώς· ὁ δὲ Κύπριν ἐπῴχετο νηλέϊ[5] χαλκῷ,
γιγνώσκων ὅ τ᾽[6] ἄναλκις[7] ἔην θεός, οὐδὲ θεάων
τάων αἵ τ᾽ ἀνδρῶν πόλεμον κάτα[8] κοιρανέουσιν[9],
οὔτ᾽ ἄρ᾽ Ἀθηναίη οὔτε πτολίπορθος Ἐνυώ[10].
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἐκίχανε πολὺν καθ᾽ ὅμιλον ὀπάζων[11],
ἔνθ᾽ ἐπορεξάμενος[12] μεγαθύμου Τυδέος υἱὸς
ἄκρην οὔτασε χεῖρα μετάλμενος[13] ὀξέϊ δουρὶ
ἀβληχρήν[14]· εἶθαρ[15] δὲ δόρυ χροὸς ἀντετόρησεν[16]
ἀμβροσίου[17] διὰ πέπλου, ὅν οἱ Χάριτες κάμον αὐταί,
πρυμνὸν[18] ὕπερ θέναρος[19]· ῥέε δ᾽ ἄμβροτον[20] αἷμα θεοῖο,
ἰχώρ[21], οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσιν·
οὐ γὰρ σῖτον[22] ἔδουσ᾽, οὐ πίνουσ᾽ αἴθοπα οἶνον,
τοὔνεκ᾽ ἀναίμονές[23] εἰσι καὶ ἀθάνατοι καλέονται.
ἡ δὲ μέγα ἰάχουσα ἀπὸ ἕο κάββαλεν[24] υἱόν·
καὶ τὸν μὲν μετὰ χερσὶν ἐρύσατο[25] Φοῖβος Ἀπόλλων
κυανέῃ νεφέλῃ, μή τις Δαναῶν ταχυπώλων
χαλκὸν ἐνὶ στήθεσσι βαλὼν ἐκ θυμὸν ἕλοιτο·
τῇ δ᾽ ἐπὶ μακρὸν ἄϋσε βοὴν ἀγαθὸς Διομήδης·

---

| | |
|---|---|
| [1] φλοῖσβος | gewoel |
| [2] ὁμηλικίη | gelijke leeftijd, kameraden |
| [3] ἄρτιος | vriendelijk |
| [4] μεθέπω *+ 2 acc.* | mennen naar |
| [5] νηλεής | meedogenloos, hard |
| [6] = ὅτι | |
| [7] ἄναλκις | weerloos |
| [8] *postpositie* | |
| [9] κοιρανέω | bevelen geven |
| [10] Ἐνυώ | Enuo, *godin van de oorlog, gezellin van Ares* |
| [11] ὀπάζω | begeleiden, vervolgen |
| [12] ἐπορέγομαι | uithalen naar |
| [13] μεθάλλομαι | afspringen op |
| [14] ἀβληχρός | teer |
| [15] εἶθαρ | terstond |
| [16] ἀντιτορέω *+ gen.* | doorboren |
| [17] ἀμβρόσιος | goddelijk, onsterfelijk |
| [18] πρυμνόν τό | het onderste deel |
| [19] θέναρ | handpalm |
| [20] ἄμβροτος | onsterfelijk |
| [21] ἰχώρ | ichoor, godenbloed |
| [22] σῖτος | brood, spijs |
| [23] ἀναίμων | zonder bloed |
| [24] *syncope en assimilatie* | |
| [25] ἐρύομαι | naar zich toe trekken |

«εἶκε[1], Διὸς θύγατερ, πολέμου καὶ δηϊοτῆτος[2]·
ἦ οὐχ ἅλις[3] ὅττι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις[4];
εἰ δὲ σύ γ᾽ ἐς πόλεμον πωλήσεαι[5], ἦ τέ σ᾽ ὀΐω
ῥιγήσειν[6] πόλεμόν γε καὶ εἴ χ᾽ ἑτέρωθι πύθηαι.»
Ὣς ἔφαθ᾽, ἡ δ᾽ ἀλύουσ᾽[7] ἀπεβήσετο[8], τείρετο δ᾽ αἰνῶς·
τὴν μὲν ἄρ᾽ Ἶρις ἑλοῦσα ποδήνεμος[9] ἔξαγ᾽ ὁμίλου
ἀχθομένην[10] ὀδύνῃσι, μελαίνετο[11] δὲ χρόα καλόν.
εὗρεν ἔπειτα μάχης ἐπ᾽ ἀριστερὰ θοῦρον Ἄρηα
ἥμενον· ἠέρι δ᾽ ἔγχος ἐκέκλιτο[12] καὶ ταχέ᾽ ἵππω·
ἡ δὲ γνὺξ ἐριποῦσα κασιγνήτοιο φίλοιο
πολλὰ λισσομένη χρυσάμπυκας[13] ᾔτεεν ἵππους·
«φίλε κασίγνητε, κόμισαί[14] τέ με δός δέ μοι ἵππους,
ὄφρ᾽ ἐς Ὄλυμπον ἵκωμαι, ἵν᾽ ἀθανάτων ἕδος[15] ἐστί.
λίην ἄχθομαι ἕλκος[16], ὅ με βροτὸς οὔτασεν ἀνήρ,
Τυδεΐδης, ὃς νῦν γε καὶ ἂν Διὶ πατρὶ μάχοιτο.»
Ὣς φάτο, τῇ δ᾽ ἄρ᾽ Ἄρης δῶκε χρυσάμπυκας ἵππους·
ἡ δ᾽ ἐς δίφρον ἔβαινεν ἀκηχεμένη[17] φίλον ἦτορ,
πὰρ δέ οἱ Ἶρις ἔβαινε καὶ ἡνία λάζετο χερσί,
μάστιξεν δ᾽ ἐλάαν, τὼ δ᾽ οὐκ ἀέκοντε πετέσθην.
αἶψα δ᾽ ἔπειθ᾽ ἵκοντο θεῶν ἕδος, αἰπὺν Ὄλυμπον·
ἔνθ᾽ ἵππους ἔστησε ποδήνεμος ὠκέα Ἶρις
λύσασ᾽ ἐξ ὀχέων, παρὰ δ᾽ ἀμβρόσιον βάλεν εἶδαρ[18]·
ἡ δ᾽ ἐν γούνασι[19] πῖπτε Διώνης δῖ᾽ Ἀφροδίτη,
μητρὸς ἑῆς· ἡ δ᾽ ἀγκὰς[20] ἐλάζετο θυγατέρα ἥν,
χειρί τέ μιν κατέρεξεν[21] ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
«τίς νύ σε τοιάδ᾽ ἔρεξε[22], φίλον τέκος, Οὐρανιώνων
μαψιδίως[23], ὡς εἴ[1] τι κακὸν ῥέζουσαν ἐνωπῇ[2];»

---

[1] εἴκω — wijken
[2] δηιοτής — strijd
[3] ἅλις — genoeg, voldoende
[4] ἠπεροπεύω — bedriegen, bepraten
[5] πωλέομαι — geregeld komen/gaan
[6] ῥιγέω — huiveren
[7] ἀλύω — buiten zichzelf zijn
[8] aor. mixtus
[9] ποδήνεμος — snel als de wind
[10] ἄχθομαι — gekweld worden
[11] μελαίνομαι — donker worden (van bloed)
[12] κλίνω *+ dat.* — doen leunen
[13] χρυσάμπυξ — met gouden voorhoofdband
[14] κομίζομαι — bij zich opnemen
[15] ἕδος τό — zetel, verblijfplaats
[16] ἕλκος τό — wond; *acc. Graecus*
[17] ἀκηχομένος — bedroefd
[18] εἶδαρ τό — paardenvoer
[19] γόνυ τό — knie, *pl.* schoot
[20] ἀγκὰς — in de armen
[21] καταρέζω — strelen
[22] ῥέζω — doen
[23] μαψιδίως — lichtzinnig, zonder reden

Τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα φιλομμειδὴς Ἀφροδίτη·
«οὖτά με Τυδέος υἱός, ὑπέρθυμος Διομήδης,
οὕνεκ᾽ ἐγὼ φίλον υἱὸν ὑπεξέφερον πολέμοιο,
Αἰνείαν, ὃς ἐμοὶ πάντων πολὺ φίλτατός ἐστιν.
οὐ γὰρ ἔτι Τρώων καὶ Ἀχαιῶν φύλοπις[3] αἰνή,
ἀλλ᾽ ἤδη Δαναοί γε καὶ ἀθανάτοισι μάχονται.»
Τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα Διώνη, δῖα θεάων·
«τέτλαθι, τέκνον ἐμόν, καὶ ἀνάσχεο κηδομένη περ·
πολλοὶ γὰρ δὴ τλῆμεν[4] Ὀλύμπια δώματ᾽ ἔχοντες
ἐξ ἀνδρῶν, χαλέπ᾽ ἄλγε᾽ ἐπ᾽ ἀλλήλοισι τιθέντες.
τλῆ μὲν Ἄρης, ὅτε μιν Ὦτος κρατερός τ᾽ Ἐφιάλτης,
παῖδες Ἀλωῆος, δῆσαν κρατερῷ ἐνὶ δεσμῷ·
χαλκέῳ δ᾽ ἐν κεράμῳ[5] δέδετο τρισκαίδεκα μῆνας[6]·
καί νύ κεν ἔνθ᾽ ἀπόλοιτο Ἄρης ἆτος[7] πολέμοιο,
εἰ μὴ μητρυιή[8], περικαλλὴς Ἠερίβοια,
Ἑρμέᾳ ἐξήγγειλεν· ὁ δ᾽ ἐξέκλεψεν Ἄρηα
ἤδη τειρόμενον, χαλεπὸς δέ ἑ δεσμὸς ἐδάμνα.
τλῆ δ᾽ Ἥρη, ὅτε μιν κρατερὸς πάϊς Ἀμφιτρύωνος
δεξιτερὸν κατὰ μαζὸν ὀϊστῷ τριγλώχινι[9]
βεβλήκει· τότε καί μιν ἀνήκεστον[10] λάβεν ἄλγος.
τλῆ δ᾽ Ἀΐδης ἐν τοῖσι πελώριος ὠκὺν ὀϊστόν,
εὖτέ[11] μιν ωὐτὸς[12] ἀνήρ, υἱὸς Διὸς αἰγιόχοιο,
ἐν Πύλῳ ἐν νεκύεσσι βαλὼν ὀδύνῃσιν ἔδωκεν·
αὐτὰρ ὁ βῆ πρὸς δῶμα Διὸς καὶ μακρὸν Ὄλυμπον
κῆρ ἀχέων[13], ὀδύνῃσι πεπαρμένος[14]· αὐτὰρ ὀϊστὸς
ὤμῳ ἔνι στιβαρῷ[15] ἠλήλατο[16], κῆδε[17] δὲ θυμόν.
τῷ δ᾽ ἐπὶ[18] Παιήων ὀδυνήφατα[19] φάρμακα πάσσων[20]
ἠκέσατ᾽[21]· οὐ μὲν γάρ τι καταθνητός γε τέτυκτο[22].

---

| | |
|---|---|
| [1] ὡς εἴ *+ part.* | alsof |
| [2] ἐνωπῇ | in het openbaar |
| [3] φύλοπις | krijgsgewoel |
| [4] τλῆναι ἐκ | te lijden hebben van |
| [5] κέραμος | (aarden) vat (*dat in de grond als opslagkruik is gezet)* |
| [6] μήν ὁ | maand |
| [7] ἆτος *+ gen.* | onverzadelijk van |
| [8] μητρυιή | stiefmoeder |
| [9] τριγλώχις | met drie weerhaken |
| [10] ἀνήκεστος | ongeneeslijk |
| [11] εὖτέ | wanneer, toen |
| [12] = ὁ αὐτός | |
| [13] ἀχέω | treuren |
| [14] πείρω | doorsteken |
| [15] στιβαρός | stevig |
| [16] ἐλαύνω | drijven |
| [17] κήδω | kwellen |
| [18] *hoort bij* πάσσων | |
| [19] ὀδυνήφατος | pijn dodend |
| [20] πάσσω | strooien |
| [21] ἀκέομαι | genezen |
| [22] = ἦν | |

σχέτλιος, ὀβριμοεργός[1], ὃς οὐκ ὄθετ᾽[2] αἴσυλα[3] ῥέζων,
ὃς τόξοισιν ἔκηδε[4] θεούς, οἳ Ὄλυμπον ἔχουσι.
σοὶ δ᾽ ἐπὶ τοῦτον ἀνῆκε θεὰ γλαυκῶπις Ἀθήνη·
νήπιος[5], οὐδὲ τὸ οἶδε κατὰ φρένα Τυδέος υἱός,
ὅττι μάλ᾽ οὐ δηναιὸς[6] ὃς ἀθανάτοισι μάχηται,
οὐδέ τί μιν παῖδες ποτὶ[7] γούνασι παππάζουσιν[8]
ἐλθόντ᾽ ἐκ πολέμοιο καὶ αἰνῆς δηϊοτῆτος.
τῶ νῦν Τυδεΐδης, εἰ καὶ μάλα καρτερός ἐστι,
φραζέσθω μή τίς οἱ ἀμείνων σεῖο μάχηται,
μὴ δὴν[9] Αἰγιάλεια[10], περίφρων Ἀδρηστίνη,
ἐξ ὕπνου γοόωσα φίλους οἰκῆας ἐγείρῃ,
κουρίδιον[11] ποθέουσα πόσιν, τὸν ἄριστον Ἀχαιῶν,
ἰφθίμη[12] ἄλοχος Διομήδεος ἱπποδάμοιο.»
Ἦ ῥα, καὶ ἀμφοτέρῃσιν ἀπ᾽ ἰχῶ[13] χειρὸς ὀμόργνυ[14]·
ἄλθετο[15] χείρ, ὀδύναι δὲ κατηπιόωντο[16] βαρεῖαι.
αἱ δ᾽ αὖτ᾽ εἰσορόωσαι Ἀθηναίη τε καὶ Ἥρη
κερτομίοις ἐπέεσσι Δία Κρονίδην ἐρέθιζον.
τοῖσι δὲ μύθων ἦρχε θεὰ γλαυκῶπις Ἀθήνη·
«Ζεῦ πάτερ, ἦ ῥά τί μοι κεχολώσεαι, ὅττι κεν εἴπω;
ἦ μάλα δή[17] τινα Κύπρις Ἀχαιϊάδων[18] ἀνιεῖσα[19]
Τρωσὶν ἅμα σπέσθαι, τοὺς νῦν ἔκπαγλα[20] φίλησε,
τῶν τινα καρρέζουσα[21] Ἀχαιϊάδων ἐϋπέπλων
πρὸς χρυσῇ περόνῃ[22] καταμύξατο[23] χεῖρα ἀραιήν[24].»
Ὣς φάτο, μείδησεν[25] δὲ πατὴρ ἀνδρῶν τε θεῶν τε,
καί ῥα καλεσσάμενος προσέφη χρυσῆν Ἀφροδίτην·
«οὔ τοι, τέκνον ἐμόν, δέδοται πολεμήϊα ἔργα,

---

| | |
|---|---|
| [1] ὀβριμοεργός | geweldenaar, daden van geweld plegend |
| [2] ὄθομαι | zich bekreunen |
| [3] αἴσυλος | misdadig |
| [4] κήδω | kwellen |
| [5] νήπιος | dwaas, naief |
| [6] δηναιός | langlevend |
| [7] = πρός | |
| [8] παππάζω | iem. papa noemen |
| [9] δὴν | lang |
| [10] Αἰγιάλεια | Aigialeia, *dochter van Adrestos, de vrouw van Diomedes* |
| [11] κουρίδιος | wettig |
| [12] ἰφθίμος | krachtig |
| [13] ἰχώρ, *acc.* ἰχῶ | godenbloed |
| [14] ὀμόργνυμι | afvegen |
| [15] ἄλθομαι | genezen |
| [16] κατηπιάομαι | bedaren |
| [17] ironisch | |
| [18] Ἀχαιϊας | Achaïsche vrouw |
| [19] ἀνίημι | ertoe aanzetten |
| [20] ἔκπαγλα | verschrikkelijk |
| [21] καρρέζω = καταρρέζω | strelen, liefkozen |
| [22] περόνη | speld |
| [23] καταμύσσομαι | schrammen |
| [24] ἀραιός | tenger |
| [25] μειδάω | glimlachen |

ἀλλὰ σύ γ᾽ ἱμερόεντα[1] μετέρχεο[2] ἔργα γάμοιο,
ταῦτα δ᾽ Ἄρηϊ θοῷ καὶ Ἀθήνῃ πάντα μελήσει.»
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
Αἰνείᾳ δ᾽ ἐπόρουσε βοὴν ἀγαθὸς Διομήδης,
γιγνώσκων ὅ[3] οἱ αὐτὸς ὑπείρεχε χεῖρας Ἀπόλλων·
ἀλλ᾽ ὅ γ᾽ ἄρ᾽ οὐδὲ θεὸν μέγαν ἅζετο[4], ἵετο[5] δ᾽ αἰεὶ
Αἰνείαν κτεῖναι καὶ ἀπὸ κλυτὰ τεύχεα δῦσαι.
τρὶς μὲν ἔπειτ᾽ ἐπόρουσε κατακτάμεναι μενεαίνων,
τρὶς δέ οἱ ἐστυφέλιξε[6] φαεινὴν ἀσπίδ᾽ Ἀπόλλων·
ἀλλ᾽ ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο[7] δαίμονι ἶσος,
δεινὰ δ᾽ ὁμοκλήσας[8] προσέφη ἑκάεργος Ἀπόλλων·
«φράζεο, Τυδεΐδη, καὶ χάζεο, μηδὲ θεοῖσιν
ἶσ᾽ ἔθελε φρονέειν[9], ἐπεὶ οὔ ποτε φῦλον[10] ὁμοῖον[11]
ἀθανάτων τε θεῶν χαμαὶ ἐρχομένων τ᾽ ἀνθρώπων.»
Ὣς φάτο, Τυδεΐδης δ᾽ ἀνεχάζετο τυτθὸν[12] ὀπίσσω,
μῆνιν ἀλευάμενος[13] ἑκατηβόλου Ἀπόλλωνος.
Αἰνείαν δ᾽ ἀπάτερθεν[14] ὁμίλου θῆκεν Ἀπόλλων
Περγάμῳ[15] εἰν ἱερῇ, ὅθι οἱ νηός γε τέτυκτο.
ἤτοι τὸν Λητώ τε καὶ Ἄρτεμις ἰοχέαιρα
ἐν μεγάλῳ ἀδύτῳ[16] ἀκέοντό τε κύδαινόν[17] τε·
αὐτὰρ ὁ εἴδωλον[18] τεῦξ᾽ ἀργυρότοξος Ἀπόλλων
αὐτῷ τ᾽ Αἰνείᾳ ἴκελον[19] καὶ τεύχεσι τοῖον,
ἀμφὶ δ᾽ ἄρ᾽ εἰδώλῳ Τρῶες καὶ δῖοι Ἀχαιοὶ
δῄουν[20] ἀλλήλων ἀμφὶ στήθεσσι βοείας[21]
ἀσπίδας εὐκύκλους λαισήϊά[22] τε πτερόεντα[23].
δὴ τότε θοῦρον Ἄρηα προσηύδα Φοῖβος Ἀπόλλων·

---

[1] ἱμερόεις — lieflijk, bekoorlijk
[2] μετέρχομαι — zich bezig houden met
[3] = ὅτι
[4] ἅζομαι — schroom/ontzag/eerbied hebben voor
[5] ἵεμαι — verlangen
[6] στυφελίζω — stoten
[7] ἐπισεύομαι *+ dat.* — afsnellen op, aanvallen
[8] ὁμοκλάω — luid schreeuwen
[9] ἶσα φρονέω — zich gelijk achten
[10] φῦλον — geslacht, stam
[11] ὁμοῖος — gelijk
[12] τυτθὸν — een beetje
[13] ἀλέομαι — zich hoeden voor
[14] ἀπάτερθεν *+ gen.* — ver van
[15] Πέργαμος ἡ: de burcht van Troje
[16] ἄδυτον — heiligdom
[17] κυδαίνω — luister/schoonheid verlenen
[18] εἴδωλον — beeld
[19] ἴκελος *+ dat.* — gelijkend op
[20] δῃόω — vernielen; doden
[21] βοείος — runderleren; *hier gesubstantiveerd:* (stier)schild
[22] λαισήιον — runderleren huid, *die op de rug als schild hangt en ook naar voren gedraaid kon worden*
[23] πτερόεις — vederlicht

«Ἆρες, Ἆρες βροτολοιγέ, μιαιφόνε, τειχεσιπλῆτα,
οὐκ ἂν δὴ τόνδ᾽ ἄνδρα μάχης ἐρύσαιο[1] μετελθών,
Τυδεΐδην, ὃς νῦν γε καὶ ἂν Διὶ πατρὶ μάχοιτο;
Κύπριδα μὲν πρῶτα σχεδὸν οὔτασε χεῖρ᾽ ἐπὶ καρπῷ,
αὐτὰρ ἔπειτ᾽ αὐτῷ μοι ἐπέσσυτο δαίμονι ἶσος.»
Ὣς εἰπὼν αὐτὸς μὲν ἐφέζετο Περγάμῳ ἄκρῃ,
Τρῳὰς δὲ στίχας[2] οὖλος[3] Ἄρης ὄτρυνε μετελθών,
εἰδόμενος[4] Ἀκάμαντι θοῷ ἡγήτορι Θρῃκῶν·
υἱάσι δὲ Πριάμοιο διοτρεφέεσσι κέλευεν·
«ὦ υἱεῖς Πριάμοιο, διοτρεφέος βασιλῆος,
ἐς τί[5] ἔτι κτείνεσθαι ἐάσετε λαὸν Ἀχαιοῖς[6];
ἦ εἰς ὅ κεν ἀμφὶ πύλῃς εὖ ποιητῇσι μάχωνται;
κεῖται ἀνὴρ ὃν ἶσον ἐτίομεν Ἕκτορι δίῳ,
Αἰνείας, υἱὸς μεγαλήτορος Ἀγχίσαο·
ἀλλ᾽ ἄγετ᾽ ἐκ φλοίσβοιο σαώσομεν ἐσθλὸν ἑταῖρον.»
Ὣς εἰπὼν ὄτρυνε μένος καὶ θυμὸν ἑκάστου.
ἔνθ᾽ αὖ Σαρπηδὼν μάλα νείκεσεν Ἕκτορα δῖον·
«Ἕκτορ, πῇ δή τοι μένος οἴχεται ὃ πρὶν ἔχεσκες;
φῆς[7] που ἄτερ[8] λαῶν πόλιν ἑξέμεν ἠδ᾽ ἐπικούρων
οἶος, σὺν γαμβροῖσι[9] κασιγνήτοισί τε σοῖσι.
τῶν νῦν οὔ τιν᾽ ἐγὼ ἰδέειν δύναμ᾽ οὐδὲ νοῆσαι[10],
ἀλλὰ καταπτώσσουσι κύνες ὣς ἀμφὶ λέοντα·
ἡμεῖς δὲ μαχόμεσθ᾽, οἵ πέρ τ᾽ ἐπίκουροι ἔνειμεν[11].
καὶ γὰρ ἐγὼν ἐπίκουρος ἐὼν μάλα τηλόθεν ἥκω·
τηλοῦ γὰρ Λυκίη, Ξάνθῳ ἔπι δινήεντι,
ἔνθ᾽ ἄλοχόν τε φίλην ἔλιπον καὶ νήπιον υἱόν,
κὰδ δὲ κτήματα πολλά, τὰ ἔλδεται[12] ὅς κ᾽ ἐπιδευής[13].
ἀλλὰ καὶ ὣς Λυκίους ὀτρύνω καὶ μέμον᾽[14] αὐτὸς
ἀνδρὶ μαχήσασθαι· ἀτὰρ οὔ τί μοι ἐνθάδε τοῖον
οἷόν κ᾽ ἠὲ φέροιεν Ἀχαιοὶ ἤ κεν ἄγοιεν·
τύνη[15] δ᾽ ἕστηκας, ἀτὰρ οὐδ᾽ ἄλλοισι κελεύεις
λαοῖσιν μενέμεν καὶ ἀμυνέμεναι ὤρεσσι[16].
μή πως, ὡς ἀψῖσι[1] λίνου[2] ἁλόντε πανάγρου[3],

---

| | |
|---|---|
| [1] ἐρύομαι | met zich meetrekken |
| [2] στίξ | gelid, rij |
| [3] οὖλος | verderfelijk |
| [4] εἰδόμενος *+ dat.* | lijkend op |
| [5] ἐς τί | waartoe, hoe lang nog? |
| [6] *dat. auctoris* | |
| [7] φημί | zeggen, denken |
| [8] ἄτερ *+ gen.* | zonder |
| [9] γαμβρός | zwager |
| [10] νοέω | bemerken |
| [11] ἔνειμι | ergens zijn |
| [12] ἔλδομαι | hopen op |
| [13] ἐπιδευής | behoeftig |
| [14] μέμονα | verlangen |
| [15] = σύ | |
| [16] ὄαρ | echtgenote |

ἀνδράσι δυσμενέεσσιν ἕλωρ[4] καὶ κύρμα[5] γένησθε·
οἱ δὲ τάχ᾽ ἐκπέρσουσ᾽ εὖ ναιομένην πόλιν ὑμήν.
σοὶ δὲ χρὴ τάδε πάντα μέλειν νύκτας τε καὶ ἦμαρ,
ἀρχοὺς λισσομένῳ τηλεκλειτῶν[6] ἐπικούρων
νωλεμέως[7] ἐχέμεν[8], κρατερὴν δ᾽ ἀποθέσθαι[9] ἐνιπήν[10].»
Ὣς φάτο Σαρπηδών, δάκε[11] δὲ φρένας Ἕκτορι μῦθος·
αὐτίκα δ᾽ ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε,
πάλλων δ᾽ ὀξέα δοῦρα κατὰ στρατὸν ᾤχετο πάντῃ,
ὀτρύνων μαχέσασθαι, ἔγειρε δὲ φύλοπιν αἰνήν.
οἱ δ᾽ ἐλελίχθησαν[12] καὶ ἐναντίοι ἔσταν Ἀχαιῶν·
Ἀργεῖοι δ᾽ ὑπέμειναν ἀολλέες[13] οὐδὲ φόβηθεν.
ὡς δ᾽ ἄνεμος ἄχνας[14] φορέει ἱερὰς[15] κατ᾽ ἀλωὰς[16]
ἀνδρῶν λικμώντων[17], ὅτε τε ξανθὴ Δημήτηρ
κρίνῃ[18] ἐπειγομένων[19] ἀνέμων καρπόν τε καὶ ἄχνας,
αἱ δ᾽ ὑπολευκαίνονται[20] ἀχυρμιαί[21]· ὣς τότ᾽ Ἀχαιοὶ
λευκοὶ ὕπερθε[22] γένοντο κονισάλῳ[23], ὅν ῥα δι᾽[24] αὐτῶν
οὐρανὸν ἐς πολύχαλκον[25] ἐπέπληγον[26] πόδες ἵππων,
ἂψ[27] ἐπιμισγομένων[28]· ὑπὸ δ᾽ ἔστρεφον ἡνιοχῆες[29].
οἱ δὲ μένος χειρῶν ἰθὺς[30] φέρον· ἀμφὶ δὲ νύκτα
θοῦρος Ἄρης ἐκάλυψε μάχῃ Τρώεσσιν ἀρήγων,
πάντοσ᾽ ἐποιχόμενος· τοῦ δ᾽ ἐκραίαινεν[31] ἐφετμὰς[1]

---

| | |
|---|---|
| [1] ἀψίς | maas (van een net) |
| [2] λίνον τό | draad, net |
| [3] πάναγρος | alles vangend |
| [4] ἕλωρ τό | buit |
| [5] κύρμα | prooi |
| [6] τηλεκλειτός | wijd vermaard |
| [7] νωλεμέως | zonder onderbreking |
| [8] ἔχω | standhouden |
| [9] ἀποτίθεμαι | van zich afleggen, bedaren |
| [10] ἐνιπή | berisping |
| [11] δάκνω | bijten |
| [12] ἑλίσσω | draaien |
| [13] ἀολλής | dicht opeen |
| [14] ἄχνη | kaf |
| [15] *gewijd namelijk aan Demeter* | |
| [16] ἀλωή | gaard |
| [17] λικμάω | wannen |
| [18] κρίνω | scheiden, schiften |
| [19] ἐπείγομαι | jagen |
| [20] ὑπολευκαίνομαι | onder iets wit worden |
| [21] ἀχυρμιή | hoop kaf; doorsvloer |
| [22] ὕπερθε | van boven |
| [23] κονίσαλος | stof |
| [24] διά *+ gen.* | tussen door |
| [25] πολύχαλκος | bronsrijk |
| [26] πλήσσω | opwerpen |
| [27] ἄψ | terug, weer |
| [28] ἐπιμίσγομαι | zich begeven onder (de strijdenden) |
| [29] ἡνιοχεύς | menner |
| [30] ἰθὺς | recht af op |
| [31] κραιαίνω | vervullen |

Φοίβου Ἀπόλλωνος χρυσαόρου[2], ὅς μιν ἀνώγει
Τρωσὶν θυμὸν ἐγεῖραι, ἐπεὶ ἴδε Παλλάδ᾽ Ἀθήνην
οἰχομένην· ἡ γάρ ῥα πέλεν[3] Δαναοῖσιν ἀρηγών[4].
αὐτὸς δ᾽ Αἰνείαν μάλα πίονος ἐξ ἀδύτοιο
ἧκε, καὶ ἐν στήθεσσι μένος βάλε ποιμένι λαῶν.
Αἰνείας δ᾽ ἑτάροισι μεθίστατο· τοὶ δὲ χάρησαν,
ὡς εἶδον ζωόν τε καὶ ἀρτεμέα[5] προσιόντα
καὶ μένος ἐσθλὸν ἔχοντα· μετάλλησάν[6] γε μὲν οὔ τι.
οὐ γὰρ ἔα πόνος ἄλλος, ὃν ἀργυρότοξος ἔγειρεν
Ἄρης τε βροτολοιγὸς Ἔρις τ᾽ ἄμοτον[7] μεμαυῖα.
Τοὺς δ᾽ Αἴαντε δύω καὶ Ὀδυσσεὺς καὶ Διομήδης
ὄτρυνον Δαναοὺς πολεμιζέμεν· οἱ δὲ καὶ αὐτοὶ
οὔτε βίας Τρώων ὑπεδείδισαν[8] οὔτε ἰωκάς[9],
ἀλλ᾽ ἔμενον νεφέλῃσιν ἐοικότες, ἅς τε Κρονίων
νηνεμίης[10] ἔστησεν ἐπ᾽ ἀκροπόλοισιν[11] ὄρεσσιν
ἀτρέμας[12], ὄφρ᾽ εὕδῃσι[13] μένος Βορέαο καὶ ἄλλων
ζαχρειῶν[14] ἀνέμων, οἵ τε νέφεα[15] σκιόεντα
πνοιῇσιν[16] λιγυρῇσι[17] διασκιδνᾶσιν ἀέντες[18]·
ὣς Δαναοὶ Τρῶας μένον ἔμπεδον[19] οὐδὲ φέβοντο.
Ἀτρεΐδης δ᾽ ἀν᾽ ὅμιλον ἐφοίτα πολλὰ κελεύων·
«ὦ φίλοι, ἀνέρες ἔστε καὶ ἄλκιμον ἦτορ ἕλεσθε,
ἀλλήλους τ᾽ αἰδεῖσθε κατὰ κρατερὰς ὑσμίνας·
αἰδομένων ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται·[20]
φευγόντων δ᾽ οὔτ᾽ ἂρ κλέος ὄρνυται[21] οὔτε τις ἀλκή.»
Ἦ, καὶ ἀκόντισε δουρὶ θοῶς, βάλε δὲ πρόμον[22] ἄνδρα,
Αἰνείω ἕταρον μεγαθύμου, Δηϊκόωντα
Περγασίδην, ὃν Τρῶες ὁμῶς Πριάμοιο τέκεσσι
τῖον, ἐπεὶ θοὸς ἔσκε μετὰ πρώτοισι μάχεσθαι[1].

---

| | |
|---|---|
| [1] ἐφετμή | opdracht |
| [2] χρυσάορος | met gouden zwaard |
| [3] = ἦν | |
| [4] ἀρηγών | helpster |
| [5] ἀρτεμής | ongedeerd |
| [6] μεταλλάω | navorsen, vragen |
| [7] ἄμοτον | vurig |
| [8] ὑποδείδω | bevreesd zijn voor |
| [9] ἰωκή | aanval |
| [10] νηνεμίης | bij windstilte |
| [11] ἀκροπόλος | hoog |
| [12] ἀτρέμας | rustig |
| [13] εὕδω | slapen |
| [14] ζαχρειής | hevig aandringend |
| [15] νέφος τό | wolk |
| [16] πνοιή | het waaien, blazen |
| [17] λιγυρός | fluitend |
| [18] ἄημι | blazen, waaien |
| [19] ἔμπεδον | standvastig |
| [20] φεν-/φν- | doden |
| [21] ὄρνυμι | veroorzaken |
| [22] πρόμος | voorvechter |

τόν ῥα κατ᾽ ἀσπίδα δουρὶ βάλε κρείων Ἀγαμέμνων·
ἡ δ᾽ οὐκ ἔγχος ἔρυτο, διαπρὸ δὲ εἴσατο[2] χαλκός,
νειαίρῃ[3] δ᾽ ἐν γαστρὶ διὰ ζωστῆρος[4] ἔλασσε·
δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ.
Ἔνθ᾽ αὖτ᾽ Αἰνείας Δαναῶν ἕλεν ἄνδρας ἀρίστους,
υἷε Διοκλῆος, Κρήθωνά τε Ὀρσίλοχόν τε,
τῶν ῥα πατὴρ μὲν ἔναιεν ἐϋκτιμένῃ ἐνὶ Φηρῇ,
ἀφνειὸς[5] βιότοιο, γένος δ᾽ ἦν ἐκ ποταμοῖο
Ἀλφειοῦ, ὅς τ᾽ εὐρὺ ῥέει Πυλίων[6] διὰ γαίης,
ὃς τέκετ᾽ Ὀρτίλοχον πολέεσσ᾽ ἄνδρεσσιν ἄνακτα·
Ὀρτίλοχος δ᾽ ἄρ᾽ ἔτικτε Διοκλῆα μεγάθυμον,
ἐκ δὲ Διοκλῆος διδυμάονε[7] παῖδε γενέσθην,
Κρήθων Ὀρσίλοχός τε, μάχης εὖ εἰδότε πάσης.
τὼ μὲν ἄρ᾽ ἡβήσαντε[8] μελαινάων ἐπὶ νηῶν
Ἴλιον εἰς εὔπωλον ἅμ᾽ Ἀργείοισιν ἑπέσθην,
τιμὴν Ἀτρεΐδῃς, Ἀγαμέμνονι καὶ Μενελάῳ,
ἀρνυμένω· τὼ δ᾽ αὖθι τέλος θανάτοιο[9] κάλυψεν.
οἵω τώ[10] γε λέοντε δύω ὄρεος κορυφῇσιν
ἐτραφέτην ὑπὸ μητρὶ βαθείης[11] τάρφεσιν[12] ὕλης·
τὼ μὲν ἄρ᾽ ἁρπάζοντε βόας καὶ ἴφια μῆλα
σταθμοὺς[13] ἀνθρώπων κεραΐζετον[14], ὄφρα[15] καὶ αὐτὼ
ἀνδρῶν ἐν παλάμῃσι κατέκταθεν ὀξέϊ χαλκῷ·
τοίω τὼ χείρεσσιν ὑπ᾽ Αἰνείαο δαμέντε
καππεσέτην[16], ἐλάτῃσιν[17] ἐοικότες ὑψηλῇσι[18].
Τὼ δὲ πεσόντ᾽ ἐλέησεν[19] ἀρηΐφιλος Μενέλαος,
βῆ δὲ διὰ προμάχων κεκορυθμένος[20] αἴθοπι χαλκῷ,
σείων[21] ἐγχείην· τοῦ δ᾽ ὄτρυνεν μένος Ἄρης,
τὰ φρονέων, ἵνα χερσὶν ὑπ᾽ Αἰνείαο δαμείη.
τὸν δ᾽ ἴδεν Ἀντίλοχος, μεγαθύμου Νέστορος υἱός,

---

| | |
|---|---|
| [1] *inf. limitationis/van beperking* | |
| [2] εἶμι | gaan |
| [3] νείαιρα γαστήρ | onderlijf |
| [4] ζωστήρ | gordel |
| [5] ἀφνειός *+ gen.* | rijk aan |
| [6] Πύλιος | Puliër, van Pulos |
| [7] διδυμάων | tweeling |
| [8] ἡβάω | krachtig/volwassen zijn |
| [9] *gen. explicativus* | |
| [10] = τώ οἵω | |
| [11] βαθύς | diep, uitgestrekt |
| [12] τάρφος, -εες | gewas; *alleen pl.* |
| [13] σταθμός | stal |
| [14] κεραΐζω | plunderen |
| [15] ὄφρα | totdat |
| [16] καταπίπτω | neeervallen |
| [17] ἐλάτη | den |
| [18] ὑψηλός | hoog |
| [19] ἐλεέω | medelijden hebben met |
| [20] κορύσσω | harnassen, wapenen |
| [21] σείω | schudden |

βῆ δὲ διὰ προμάχων· περὶ[1] γὰρ δίε[2] ποιμένι λαῶν,
μή τι πάθοι, μέγα δέ σφας ἀποσφήλειε[3] πόνοιο.
τὼ μὲν δὴ χεῖράς τε καὶ ἔγχεα ὀξυόεντα
ἀντίον ἀλλήλων ἐχέτην μεμαῶτε μάχεσθαι·
Ἀντίλοχος δὲ μάλ᾽ ἄγχι παρίστατο ποιμένι λαῶν.
Αἰνείας δ᾽ οὐ μεῖνε, θοός περ ἐὼν πολεμιστής,
ὡς εἶδεν δύο φῶτε παρ᾽ ἀλλήλοισι μένοντε.
οἱ δ᾽ ἐπεὶ οὖν νεκροὺς ἔρυσαν μετὰ λαὸν Ἀχαιῶν,
τὼ μὲν ἄρα δειλὼ[4] βαλέτην ἐν χερσὶν ἑταίρων,
αὐτὼ δὲ στρεφθέντε μετὰ πρώτοισι μαχέσθην.
Ἔνθα Πυλαιμένεα ἑλέτην ἀτάλαντον[5] Ἄρηϊ,
ἀρχὸν Παφλαγόνων μεγαθύμων ἀσπιστάων[6].
τὸν μὲν ἄρ᾽ Ἀτρεΐδης δουρικλειτὸς Μενέλαος
ἑσταότ᾽ ἔγχεϊ νύξε[7] κατὰ κληῗδα[8] τυχήσας[9]·
Ἀντίλοχος δὲ Μύδωνα βάλ᾽, ἡνίοχον θεράποντα,
ἐσθλὸν Ἀτυμνιάδην —ὁ δ᾽ ὑπέστρεφε[10] μώνυχας ἵππους—
χερμαδίῳ[11] ἀγκῶνα[12] τυχὼν μέσον· ἐκ δ᾽ ἄρα χειρῶν
ἡνία λεύκ᾽ ἐλέφαντι[13] χαμαὶ πέσον ἐν κονίῃσιν.
Ἀντίλοχος δ᾽ ἄρ᾽ ἐπαΐξας ξίφει ἤλασε κόρσην[14]·
αὐτὰρ ὅ γ᾽ ἀσθμαίνων[15] εὐεργέος ἔκπεσε δίφρου
κύμβαχος[16] ἐν κονίῃσιν ἐπὶ βρεχμόν[17] τε καὶ ὤμους.
δηθὰ μάλ᾽ ἑστήκει —τύχε γάρ ῥ᾽ ἀμάθοιο[18] βαθείης—
ὄφρ᾽ ἵππω πλήξαντε χαμαὶ βάλον ἐν κονίῃσι·
τοὺς ἵμασ᾽[19] Ἀντίλοχος, μετὰ δὲ στρατὸν ἤλασ᾽ Ἀχαιῶν.
Τοὺς δ᾽ Ἕκτωρ ἐνόησε κατὰ στίχας, ὦρτο δ᾽ ἐπ᾽ αὐτοὺς
κεκλήγων[20]· ἅμα δὲ Τρώων εἵποντο φάλαγγες
καρτεραί· ἦρχε δ᾽ ἄρα σφιν Ἄρης καὶ πότνι᾽ Ἐνυώ,
ἡ μὲν ἔχουσα Κυδοιμὸν[21] ἀναιδέα[22] δηϊοτῆτος[1],

---

| | |
|---|---|
| [1] περί | zeer |
| [2] δείδω, *aor.* ἔδιον + *dat.* | vrezen voor |
| [3] ἀποσφάλλω + *gen.* | doen afdwalen van, doen mislukken in |
| [4] δειλός | rampzalig |
| [5] ἀτάλαντος + *dat.* | opwegend tegen |
| [6] ἀσπιστής | schilddragend |
| [7] νύσσω | stoten |
| [8] κληίς | sleutelbeen |
| [9] τυγχάνω + *gen.* | raken |
| [10] ὑποστρέφω | omdraaien |
| [11] χερμάδιον | werpsteen |
| [12] ἀγκών | elleboog |
| [13] ἐλέφας | ivoor |
| [14] κόρση | slaap |
| [15] ἀσθμαίνω | snuiven, hijgen |
| [16] κύμβαχος | hals over kop |
| [17] βρεχμός | kruin |
| [18] ἄμαθος ἡ | zand |
| [19] ἱμάσσω | met de zweep slaan |
| [20] κλάζω | schreeuwen |
| [21] Κυδοιμός | Paniek |
| [22] ἀναιδής | schaamteloos, zonder erbarmen |

Ἄρης δ᾽ ἐν παλάμῃσι πελώριον ἔγχος ἐνώμα[2],
φοίτα δ᾽ ἄλλοτε μὲν πρόσθ᾽ Ἕκτορος, ἄλλοτ᾽ ὄπισθε.
Τὸν δὲ ἰδὼν ῥίγησε[3] βοὴν ἀγαθὸς Διομήδης·
ὡς δ᾽ ὅτ᾽ ἀνὴρ ἀπάλαμνος[4], ἰὼν πολέος[5] πεδίοιο[6],
στήῃ ἐπ᾽ ὠκυρόῳ ποταμῷ ἅλαδε[7] προρέοντι,
ἀφρῷ[8] μορμύροντα[9] ἰδών, ἀνά[10] τ᾽ ἔδραμ᾽ ὀπίσσω,
ὣς τότε Τυδεΐδης ἀνεχάζετο, εἶπέ τε λαῷ·
«ὦ φίλοι, οἷον[11] δὴ θαυμάζομεν Ἕκτορα δῖον
αἰχμητήν τ᾽ ἔμεναι καὶ θαρσαλέον[12] πολεμιστήν·
τῷ δ᾽ αἰεὶ πάρα[13] εἷς γε θεῶν, ὃς λοιγὸν ἀμύνει·
καὶ νῦν οἱ πάρα κεῖνος Ἄρης, βροτῷ ἀνδρὶ ἐοικώς.
ἀλλὰ πρὸς Τρῶας τετραμμένοι αἰὲν ὀπίσσω
εἴκετε, μηδὲ θεοῖς μενεαινέμεν[14] ἶφι μάχεσθαι.»
ἔνθ᾽ Ἕκτωρ δύο φῶτε κατέκτανεν εἰδότε χάρμης[15],
είν ἐνὶ δίφρῳ ἐόντε, Μενέσθην Ἀγχίαλόν τε.
τὼ δὲ πεσόντ᾽ ἐλέησε μέγας Τελαμώνιος Αἴας·
στῆ δὲ μάλ᾽ ἐγγὺς ἰών, καὶ ἀκόντισε δουρὶ φαεινῷ,
καὶ βάλεν Ἄμφιον, Σελάγου υἱόν, ὅς ῥ᾽ ἐνὶ Παισῷ
ναῖε πολυκτήμων[16] πολυλήϊος[17]· ἀλλά ἑ μοῖρα
ἦγ᾽ ἐπικουρήσοντα[18] μετὰ Πρίαμόν τε καὶ υἷας.
τόν ῥα κατὰ ζωστῆρα βάλεν Τελαμώνιος Αἴας,
νειαίρῃ δ᾽ ἐν γαστρὶ πάγη δολιχόσκιον ἔγχος,
δούπησεν δὲ πεσών· ὁ δ᾽ ἐπέδραμε φαίδιμος Αἴας
τεύχεα συλήσων[19]· Τρῶες δ᾽ ἐπὶ δούρατ᾽ ἔχευαν
ὀξέα παμφανόωντα· σάκος[20] δ᾽ ἀνεδέξατο πολλά.
αὐτὰρ ὁ λὰξ[21] προσβὰς ἐκ νεκροῦ χάλκεον ἔγχος
ἐσπάσατ᾽[22]· οὐδ᾽ ἄρ᾽ ἔτ᾽ ἄλλα δυνήσατο τεύχεα καλὰ
ὤμοιιν ἀφελέσθαι· ἐπείγετο[1] γὰρ βελέεσσι.

---

[1] δηιοτής strijd
[2] νωμάω hanteren
[3] ῥιγέω huiveren
[4] ἀπάλαμνος radeloos
[5] *gen. van πολύς*
[6] *gen. loci*
[7] ἅλαδε naar zee
[8] ἀφρός schuim
[9] μορμύρω bruisen
[10] *zelfstandige zin; vandaar overgang naar aor. gnomicus*
[11] οἷον hoe
[12] θαρσαλέος onverschrokken
[13] = πάρεστι
[14] μενεαίνω hevig verlangen
[15] χάρμη strijd
[16] πολυκτήμων rijk aan bezit
[17] πολυλήϊος rijk aan akkers
[18] ἐπικουρέω bondgenoot zijn
[19] συλάω roven
[20] σάκος τό schild
[21] λάξ met de hiel
[22] σπάω trekken

δεῖσε δ᾽ ὅ γ᾽ ἀμφίβασιν[2] κρατερὴν Τρώων ἀγερώχων,
οἵ πολλοί τε καὶ ἐσθλοὶ ἐφέστασαν ἔγχε᾽ ἔχοντες,
οἵ ἑ μέγαν περ ἐόντα καὶ ἴφθιμον καὶ ἀγαυὸν
ὦσαν ἀπὸ σφείων· ὁ δὲ χασσάμενος πελεμίχθη[3].
Ὣς οἱ μὲν πονέοντο κατὰ κρατερὴν ὑσμίνην·
Τληπόλεμον δ᾽ Ἡρακλεΐδην, ἠΰν τε μέγαν τε,
ὦρσεν ἐπ᾽ ἀντιθέῳ Σαρπηδόνι μοῖρα κραταιή.
οἱ δ᾽ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ᾽ ἀλλήλοισιν ἰόντες,
υἱός θ᾽ υἱωνός[4] τε Διὸς νεφεληγερέταο,
τὸν καὶ Τληπόλεμος πρότερος πρὸς μῦθον ἔειπε·
«Σαρπῆδον, Λυκίων βουληφόρε, τίς τοι ἀνάγκη
πτώσσειν[5] ἐνθάδ᾽ ἐόντι μάχης ἀδαήμονι[6] φωτί;
ψευδόμενοι δέ σέ φασι Διὸς γόνον αἰγιόχοιο
εἶναι, ἐπεὶ πολλὸν κείνων ἐπιδεύεαι[7] ἀνδρῶν
οἵ Διὸς ἐξεγένοντο ἐπὶ[8] προτέρων ἀνθρώπων·
ἀλλ᾽ οἷόν τινά φασι βίην Ἡρακληείην
εἶναι, ἐμὸν πατέρα θρασυμέμνονα[9] θυμολέοντα·
ὅς ποτε δεῦρ᾽ ἐλθὼν ἕνεχ᾽ ἵππων Λαομέδοντος
ἓξ οἴῃς σὺν νηυσὶ καὶ ἀνδράσι παυροτέροισιν
Ἰλίου ἐξαλάπαξε[10] πόλιν, χήρωσε[11] δ᾽ ἀγυιάς[12]·
σοὶ δὲ κακὸς μὲν θυμός, ἀποφθινύθουσι[13] δὲ λαοί.
οὐδέ τί σε Τρώεσσιν ὀΐομαι ἄλκαρ[14] ἔσεσθαι
ἐλθόντ᾽ ἐκ Λυκίης, οὐδ᾽ εἰ μάλα καρτερός ἐσσι,
ἀλλ᾽ ὑπ᾽ ἐμοὶ δμηθέντα πύλας Ἀΐδαο περήσειν[15].»
Τὸν δ᾽ αὖ Σαρπηδὼν Λυκίων ἀγὸς[16] ἀντίον ηὔδα·
«Τληπόλεμ᾽, ἤτοι κεῖνος ἀπώλεσεν Ἴλιον ἱρὴν
ἀνέρος ἀφραδίῃσιν[17] ἀγαυοῦ Λαομέδοντος,
ὅς ῥά μιν εὖ ἔρξαντα[18] κακῷ ἠνίπαπε[19] μύθῳ,
οὐδ᾽ ἀπέδωχ᾽ ἵππους, ὧν εἵνεκα τηλόθεν ἦλθε.
σοὶ δ᾽ ἐγὼ ἐνθάδε φημὶ φόνον καὶ κῆρα μέλαιναν
ἐξ ἐμέθεν τεύξεσθαι[1], ἐμῷ δ᾽ ὑπὸ δουρὶ δαμέντα

---

| | |
|---|---|
| [1] ἐπείγω | bestoken |
| [2] ἀμφίβασις | omsingeling |
| [3] πελεμίζομαι | wankelen |
| [4] υἱωνός | kleinzoon |
| [5] πτώσσω | wegduiken |
| [6] ἀδαημών *+ gen.* | onkundig op het gebied van |
| [7] ἐπιδεύομαι *+ gen.* | onderdoen voor |
| [8] ἐπί *+ gen.* | ten tijde van |
| [9] θρασυμέμνων | onverschrokken |
| [10] ἐξαλαπάζω | geheel verwoesten |
| [11] χηρόω | verlaten maken |
| [12] ἀγυιά | straat |
| [13] ἀποφθινύθω | te gronde gaan, omkomen |
| [14] ἄλκαρ τό | bescherming |
| [15] περάω | gaan door |
| [16] ἀγός | leider |
| [17] ἀφραδίη | onverstand |
| [18] ἔρδω | doen |
| [19] ἐνίσσω/ἐνίπτω | uitvaren tegen |

εὖχος[2] ἐμοὶ δώσειν, ψυχὴν δ᾽ Ἄϊδι κλυτοπώλῳ[3].»
Ὣς φάτο Σαρπηδών, ὁ δ᾽ ἀνέσχετο μείλινον[4] ἔγχος
Τληπόλεμος· καὶ τῶν μὲν ἁμαρτῇ[5] δούρατα μακρὰ
ἐκ χειρῶν ἤϊξαν· ὁ μὲν βάλεν αὐχένα μέσσον
Σαρπηδών, αἰχμὴ δὲ διαμπερὲς ἦλθ᾽ ἀλεγεινή·
τὸν δὲ κατ᾽ ὀφθαλμῶν ἐρεβεννὴ[6] νὺξ ἐκάλυψε.
Τληπόλεμος δ᾽ ἄρα μηρὸν ἀριστερὸν ἔγχεϊ μακρῷ
βεβλήκειν, αἰχμὴ δὲ διέσσυτο μαιμώωσα[7],
ὀστέῳ ἐγχριμφθεῖσα[8], πατὴρ δ᾽ ἔτι λοιγὸν[9] ἄμυνεν.
Οἱ μὲν ἄρ᾽ ἀντίθεον Σαρπηδόνα δῖοι ἑταῖροι
ἐξέφερον πολέμοιο· βάρυνε[10] δέ μιν δόρυ μακρὸν
ἑλκόμενον· τὸ μὲν οὔ τις ἐπεφράσατ᾽[11] οὐδ᾽ ἐνόησε,
μηροῦ ἐξερύσαι δόρυ μείλινον, ὄφρ᾽ ἐπιβαίη[12],
σπευδόντων· τοῖον γὰρ ἔχον πόνον ἀμφιέποντες[13].
Τληπόλεμον δ᾽ ἑτέρωθεν ἐϋκνήμιδες Ἀχαιοὶ
ἐξέφερον πολέμοιο· νόησε δὲ δῖος Ὀδυσσεὺς
τλήμονα θυμὸν ἔχων, μαίμησε δέ οἱ φίλον ἦτορ·
μερμήριξε[14] δ᾽ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν
ἢ προτέρω Διὸς υἱὸν ἐριγδούποιο διώκοι,
ἦ ὅ γε τῶν πλεόνων Λυκίων ἀπὸ θυμὸν ἕλοιτο.
οὐδ᾽ ἄρ᾽ Ὀδυσσῆϊ μεγαλήτορι μόρσιμον[15] ἦεν
ἴφθιμον Διὸς υἱὸν ἀποκτάμεν ὀξέϊ χαλκῷ·
τῷ ῥα κατὰ πληθὺν Λυκίων τράπε θυμὸν Ἀθήνη.
ἔνθ᾽ ὅ γε Κοίρανον εἷλεν Ἀλάστορά τε Χρομίον τε
Ἄλκανδρόν θ᾽ Ἅλιόν τε Νοήμονά τε Πρύτανίν τε.
καί νύ κ᾽ ἔτι πλέονας Λυκίων κτάνε δῖος Ὀδυσσεύς,
εἰ μὴ ἄρ᾽ ὀξὺ νόησε μέγας κορυθαίολος Ἕκτωρ·
βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ,
δεῖμα[16] φέρων Δαναοῖσι· χάρη δ᾽ ἄρα οἱ προσιόντι
Σαρπηδὼν Διὸς υἱός, ἔπος δ᾽ ὀλοφυδνὸν[17] ἔειπε·
«Πριαμίδη, μὴ δή με ἕλωρ[18] Δαναοῖσιν ἐάσῃς

---

[1] τυγχάνω — ten deel vallen
[2] εὖχος τό — roem
[3] κλυτόπωλος — met prachtige paarden
[4] μείλινος — essenhouten
[5] ἁμαρτῇ — tegelijk
[6] ἐρεβεννός — duister
[7] μαιμάω — vol vuur zijn
[8] ἐγχρίμπτω — schampen
[9] λοιγός — verderf
[10] βαρύνω — belemmeren
[11] ἐπιφράζομαι — bemerken
[12] ἐπιβαίνω — lopen
[13] ἀμφιέπω — in de weer zijn
[14] μερμηρίζω — overwegen
[15] μόρσιμος — beschikt
[16] δεῖμα τό — vrees
[17] ὀλοφυδνός — jammerend
[18] ἕλωρ τό — buit

κεῖσθαι, ἀλλ᾽ ἐπάμυνον· ἔπειτά με καὶ λίποι αἰὼν[1]
ἐν πόλει ὑμετέρῃ, ἐπεὶ οὐκ ἄρ᾽ ἔμελλον ἔγωγε
νοστήσας οἶκόνδε φίλην ἐς πατρίδα γαῖαν
εὐφρανέειν[2] ἄλοχόν τε φίλην καὶ νήπιον υἱόν.»
Ὣς φάτο, τὸν δ᾽ οὔ τι προσέφη κορυθαίολος Ἕκτωρ,
ἀλλὰ παρήϊξεν, λελιημένος[3] ὄφρα τάχιστα
ὤσαιτ᾽ Ἀργείους, πολέων δ᾽ ἀπὸ θυμὸν ἕλοιτο.
οἱ μὲν ἄρ᾽ ἀντίθεον Σαρπηδόνα δῖοι ἑταῖροι
εἷσαν[4] ὑπ᾽ αἰγιόχοιο Διὸς περικαλλέϊ φηγῷ[5]·
ἐκ δ᾽ ἄρα οἱ μηροῦ δόρυ μείλινον ὦσε θύραζε[6]
ἴφθιμος Πελάγων, ὅς οἱ φίλος ἦεν ἑταῖρος.
τὸν δὲ λίπε ψυχή, κατὰ δ᾽ ὀφθαλμῶν κέχυτ᾽ ἀχλύς[7]·
αὖτις δ᾽ ἐμπνύνθη[8], περὶ δὲ πνοιὴ Βορέαο
ζώγρει[9] ἐπιπνείουσα κακῶς κεκαφηότα[10] θυμόν.
Ἀργεῖοι δ᾽ ὑπ᾽ Ἄρηϊ καὶ Ἕκτορι χαλκοκορυστῇ
οὔτε ποτὲ προτρέποντο[11] μελαινάων ἐπὶ νηῶν
οὔτε ποτ᾽ ἀντεφέροντο[12] μάχῃ, ἀλλ᾽ αἰὲν ὀπίσσω
χάζονθ᾽, ὡς ἐπύθοντο μετὰ Τρώεσσιν Ἄρηα.
Ἔνθα τίνα πρῶτον, τίνα δ᾽ ὕστατον ἐξενάριξαν
Ἕκτωρ τε Πριάμοιο πάϊς καὶ χάλκεος Ἄρης;
ἀντίθεον Τεύθραντ᾽, ἐπὶ δὲ πλήξιππον Ὀρέστην,
Τρῆχόν τ᾽ αἰχμητὴν Αἰτώλιον Οἰνόμαόν τε,
Οἰνοπίδην θ᾽ Ἕλενον καὶ Ὀρέσβιον αἰολομίτρην[13],
ὅς ῥ᾽ ἐν Ὕλῃ ναίεσκε μέγα πλούτοιο μεμηλώς[14],
λίμνῃ κεκλιμένος[15] Κηφισίδι[16]· πὰρ δέ οἱ ἄλλοι
ναῖον Βοιωτοὶ μάλα πίονα δῆμον[17] ἔχοντες.
Τοὺς δ᾽ ὡς οὖν ἐνόησε θεὰ λευκώλενος Ἥρη
Ἀργείους ὀλέκοντας[18] ἐνὶ κρατερῇ ὑσμίνῃ,
αὐτίκ᾽ Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα·
ὢ πόποι, αἰγιόχοιο Διὸς τέκος, Ἀτρυτώνη,
ἦ ῥ᾽ ἅλιον[19] τὸν μῦθον ὑπέστημεν[1] Μενελάῳ,

---

[1] αἰὼν — leven
[2] εὐφραίνω — opvrolijken
[3] λιλαίομαι, λελιημένος — hunkeren
[4] ἵζω — doen zitten
[5] φηγός ἡ — eik
[6] θύραζε — naar buiten
[7] ἀχλύς ἡ — nevel
[8] ἐμπνέω — inblazen
[9] ζωγρέω — het leven schenken
[10] ΚΑΦ- — doen verliezen
[11] προτρέπομαι — zich vluchtend voorwaarts wenden
[12] ἀντιφέρομαι — zich vijandig begeven
[13] αἰολομίτρης — met flikkerende buikgordel
[14] μεμηλώς *+ gen.* — bezorgd om
[15] κεκλιμένος *+ dat.* — gelegen aan
[16] *het Kefisische meer, later Kopaïs genoemd in Boiotië*
[17] δῆμος — land
[18] ὀλέκω — doden
[19] ἅλιος — vergeefs

Ἴλιον ἐκπέρσαντ᾽[2] εὐτείχεον ἀπονέεσθαι[3],
εἰ οὕτω μαίνεσθαι ἐάσομεν οὖλον Ἄρηα.
ἀλλ᾽ ἄγε δὴ καὶ νῶϊ μεδώμεθα[4] θούριδος ἀλκῆς.
Ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε θεὰ γλαυκῶπις Ἀθήνη.
ἡ μὲν ἐποιχομένη χρυσάμπυκας[5] ἔντυεν[6] ἵππους
Ἥρη, πρέσβα[7] θεά, θυγάτηρ μεγάλοιο Κρόνοιο·
Ἥβη δ᾽ ἀμφ᾽[8] ὀχέεσσι[9] θοῶς βάλε καμπύλα[10] κύκλα[11],
χάλκεα ὀκτάκνημα[12], σιδηρέῳ ἄξονι[13] ἀμφίς[14].
τῶν ἤτοι χρυσέη ἴτυς[15] ἄφθιτος[16], αὐτὰρ ὕπερθε
χάλκε᾽ ἐπίσσωτρα[17] προσαρηρότα[18], θαῦμα ἰδέσθαι·
πλῆμναι[19] δ᾽ ἀργύρου εἰσὶ περίδρομοι[20] ἀμφοτέρωθεν·
δίφρος[21] δὲ χρυσέοισι καὶ ἀργυρέοισιν ἱμᾶσιν[22]
ἐντέταται[23], δοιαὶ δὲ περίδρομοι ἄντυγές[24] εἰσι.
τοῦ δ᾽ ἐξ ἀργύρεος ῥυμὸς[25] πέλεν· αὐτὰρ ἐπ᾽ ἄκρῳ
δῆσε χρύσειον καλὸν ζυγόν[26], ἐν δὲ λέπαδνα[27]
κάλ᾽ ἔβαλε χρύσει᾽· ὑπὸ δὲ ζυγὸν ἤγαγεν Ἥρη
ἵππους ὠκύποδας, μεμαυῖ᾽ ἔριδος καὶ ἀϋτῆς.
Αὐτὰρ Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο,
πέπλον μὲν κατέχευεν[28] ἑανὸν[29] πατρὸς ἐπ᾽ οὔδει[30],
ποικίλον, ὅν ῥ᾽ αὐτὴ ποιήσατο καὶ κάμε χερσίν·
ἡ δὲ χιτῶν᾽ ἐνδῦσα Διὸς νεφεληγερέταο

---

| | |
|---|---|
| [1] ὑφίσταμαι | beloven |
| [2] ἐκπέρθω | geheel verwoesten |
| [3] ἀπονέομαι | terugkeren |
| [4] μέδομαι *+ gen.* | denken aan |
| [5] χρυσάμπυξ | met gouden voorhoofdband |
| [6] ἐντύω | optuigen |
| [7] πρέσβα | eerbiedwaardig; *f. bij πρέσβυς* |
| [8] ἀμφί *+ dat* | aan weerszijden van |
| [9] ὄχος τό | wagen |
| [10] καμπύλος | gebogen |
| [11] κύκλος | wiel; *hier met onz. pl.* |
| [12] ὀκτάκνημος | met acht spaken |
| [13] ἄξων | as |
| [14] *dat +* ἀμφίς | aan weerszijden van; *in postpositie* |
| [15] ἴτυς ἡ | velg |
| [16] ἄφθιτος | onvergankelijk |
| [17] ἐπίσσωτρον τό | velgbeslag |
| [18] προσαραρίσκω | sluitend maken |
| [19] πλήμνη ἡ | naaf |
| [20] περίδρομος | ergens omheen lopend |
| [21] δίφρος | wagenbak (oorspronkelijk alleen de bodem) |
| [22] ἱμάς, ἱμάντος | teugel |
| [23] ἐντείνω | spannen aan |
| [24] ἄντυξ ἡ | wagenrand (links en rechts aflopend) |
| [25] ῥυμός | disselboom |
| [26] ζυγόν | juk |
| [27] λέπαδνα τά | jukriemen |
| [28] καταχέω | van haar laten afglijden |
| [29] ἑανός | soepel |
| [30] οὖδας τό | bodem, grond |

τεύχεσιν ἐς πόλεμον θωρήσσετο δακρυόεντα.
ἀμφὶ δ᾽ ἄρ᾽ ὤμοισιν βάλετ᾽ αἰγίδα θυσσανόεσσαν[1]
δεινήν, ἣν περὶ μὲν πάντῃ Φόβος[2] ἐστεφάνωται[3],
ἐν δ᾽ Ἔρις, ἐν δ᾽ Ἀλκή, ἐν δὲ κρυόεσσα[4] Ἰωκή[5],
ἐν δέ τε Γοργείη κεφαλὴ δεινοῖο πελώρου,
δεινή τε σμερδνή[6] τε, Διὸς τέρας[7] αἰγιόχοιο.
κρατὶ δ᾽ ἐπ᾽ ἀμφίφαλον[8] κυνέην θέτο τετραφάληρον[9]
χρυσείην, ἑκατὸν πολίων πρυλέεσσ᾽[10] ἀραρυῖαν[11]·
ἐς δ᾽ ὄχεα φλόγεα[12] ποσὶ βήσετο[13], λάζετο[14] δ᾽ ἔγχος
βριθὺ[15] μέγα στιβαρόν[16], τῷ δάμνησι στίχας ἀνδρῶν
ἡρώων, οἷσίν τε κοτέσσεται[17] ὀβριμοπάτρη.
Ἥρη δὲ μάστιγι θοῶς ἐπεμαίετ᾽[18] ἄρ᾽ ἵππους·
αὐτόμαται δὲ πύλαι μύκον[19] οὐρανοῦ, ἃς ἔχον Ὧραι,
τῇς ἐπιτέτραπται μέγας οὐρανὸς Οὔλυμπός τε,
ἠμὲν ἀνακλῖναι[20] πυκινὸν νέφος ἠδ᾽ ἐπιθεῖναι.
τῇ ῥα δι᾽ αὐτάων κεντρηνεκέας[21] ἔχον ἵππους·
εὗρον δὲ Κρονίωνα θεῶν ἄτερ ἥμενον ἄλλων
ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο.
ἔνθ᾽ ἵππους στήσασα θεὰ λευκώλενος Ἥρη
Ζῆν᾽ ὕπατον Κρονίδην ἐξείρετο[22] καὶ προσέειπε·
«Ζεῦ πάτερ, οὐ νεμεσίζῃ[23] Ἄρῃ τάδε καρτερὰ ἔργα,
ὁσσάτιόν[24] τε καὶ οἷον ἀπώλεσε λαὸν Ἀχαιῶν
μάψ[25], ἀτὰρ οὐ κατὰ κόσμον, ἐμοὶ δ᾽ ἄχος[26], οἱ δὲ ἕκηλοι[27]
τέρπονται Κύπρις τε καὶ ἀργυρότοξος Ἀπόλλων,

---

[1] θυσσανόεσσα rijk aan kwasten
[2] Φόβος Vlucht (*personificatie*)
[3] στεφανόω leggen als een krans om
[4] κρυόεσσα ijselijk
[5] Ἰωκή Krijgsgewoel (*personificatie*)
[6] σμερδνός vreselijk
[7] τέρας τό monster
[8] ἀμφίφαλος met aan beide zijden een helmkam
[9] τετραφάληρος met vier knoppen
[10] πρυλέες οἱ voetstrijders
[11] ἀραρίσκω samenvoegen; *part. perf. + dat.* voorzien van
[12] φλόγεος vlammend
[13] *aor. mixtus*
[14] λάζομαι grijpen
[15] βριθύς zwaar
[16] στιβαρός stevig
[17] κοτέομαι wrokken; *coni. aor*
[18] ἐπιμαίομαι betasten
[19] μυκάομαι, *aor.* μύκον loeien
[20] ἀνακλίνω tegenhouden
[21] κεντρηνεκής gezweept
[22] ἐξείρομαι
[23] νεμεσίζομαι kwalijk nemen, afkeuren
[24] ὀσσάτιός hoe groot/veel
[25] μάψ onbesuisd, zonder reden
[26] ἄχος τό smart
[27] ἕκηλος rustig

ἄφρονα τοῦτον ἀνέντες[1], ὃς οὔ τινα οἶδε θέμιστα[2];
Ζεῦ πάτερ, ἦ ῥά τί μοι κεχολώσεαι[3], αἴ κεν Ἄρηα
λυγρῶς[4] πεπληγυῖα μάχης ἐξαποδίωμαι[5];»
Τὴν δ᾽ ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς˙
«ἄγρει[6] μάν οἱ ἔπορσον Ἀθηναίην ἀγελείην[7],
ἥ ἑ μάλιστ᾽ εἴωθε κακῇς ὀδύνῃσι πελάζειν[8].»
Ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε θεὰ λευκώλενος Ἥρη,
μάστιξεν δ᾽ ἵππους˙ τὼ δ᾽ οὐκ ἀέκοντε πετέσθην
μεσσηγὺς[9] γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος.
ὅσσον δ᾽ ἠεροειδὲς[10] ἀνὴρ ἴδεν[11] ὀφθαλμοῖσιν
ἥμενος ἐν σκοπιῇ[12], λεύσσων ἐπὶ οἴνοπα πόντον,
τόσσον ἐπιθρῴσκουσι θεῶν ὑψηχέες[13] ἵπποι.
ἀλλ᾽ ὅτε δὴ Τροίην ἷξον ποταμώ τε ῥέοντε,
ἧχι[14] ῥοὰς[15] Σιμόεις συμβάλλετον ἠδὲ Σκάμανδρος,
ἔνθ᾽ ἵππους ἔστησε θεὰ λευκώλενος Ἥρη
λύσασ᾽ ἐξ ὀχέων, περὶ δ᾽ ἠέρα πουλὺν ἔχευε˙
τοῖσιν δ᾽ ἀμβροσίην Σιμόεις ἀνέτειλε[16] νέμεσθαι[17].
Αἱ δὲ βάτην τρήρωσι[18] πελειάσιν[19] ἴθμαθ᾽[20] ὁμοῖαι,
ἀνδράσιν Ἀργείοισιν ἀλεξέμεναι[21] μεμαυῖαι˙
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἵκανον ὅθι πλεῖστοι καὶ ἄριστοι
ἔστασαν, ἀμφὶ βίην Διομήδεος ἱπποδάμοιο
εἰλόμενοι[22], λείουσιν [23]ἐοικότες ὠμοφάγοισιν
ἢ συσὶ κάπροισιν[24], τῶν τε σθένος οὐκ ἀλαπαδνόν[25],
ἔνθα στᾶσ᾽ ἤϋσε θεὰ λευκώλενος Ἥρη,
Στέντορι εἰσαμένη[26] μεγαλήτορι χαλκεοφώνῳ,

---

| | |
|---|---|
| [1] ἀνίημι | ophitsen |
| [2] θέμις, θέμιστος | wet |
| [3] χολόω | boosmaken; fut.ex.med |
| [4] λυγρῶς | pijnlijk |
| [5] ἐξαποδίομαι | wegjagen |
| [6] ἄγρει (ἀγρέω) | kom aan |
| [7] ἀγελείη | leidster van het krijgsvolk |
| [8] πελάζω *+ dat.* | doen naderen, overgeven aan |
| [9] μεσσηγὺς *+ gen.* | tussen |
| [10] ἠεροειδὲς *adv.* | in de nevel |
| [11] *resultatief aor.* | *met zijn blik reikt* |
| [12] σκοπιή | uitkijkplaats |
| [13] ὑψηχής | met opgeheven hoofd |
| [14] ἧχι | waar |
| [15] ῥοή ἡ | stroom |
| [16] ἀνατέλλω | doen opkomen |
| [17] νέμομαι | (af)grazen |
| [18] τρήρων | schuchter |
| [19] πέλεια ἡ | duif |
| [20] ἴθμα τό | tred |
| [21] ἀλέξω + dat. | beschermen |
| [22] ἔλλομαι | zich opeendringen |
| [23] = λέουσι | |
| [24] σῦς κάπρος | everzwijn |
| [25] ἀλαπαδνός | zwak |
| [26] εἰσαμένος *+ dat.* | lijkend op, in de gedaante van |

ὃς τόσον αὐδήσασχ’[1] ὅσον ἄλλοι πεντήκοντα·
«αἰδώς[2], Ἀργεῖοι, κάκ’ ἐλέγχεα[3], εἶδος ἀγητοί[4]·
ὄφρα[5] μὲν ἐς πόλεμον πωλέσκετο[6] δῖος Ἀχιλλεύς,
οὐδέ ποτε Τρῶες πρὸ πυλάων Δαρδανιάων
οἴχνεσκον[7]· κείνου γὰρ ἐδείδισαν ὄβριμον ἔγχος·
νῦν δὲ ἑκὰς[8] πόλιος κοίλῃς ἐπὶ νηυσὶ μάχονται.»
Ὣς εἰποῦσ’ ὄτρυνε μένος καὶ θυμὸν ἑκάστου.
Τυδεΐδῃ δ’ ἐπόρουσε θεὰ γλαυκῶπις Ἀθήνη·
εὗρε δὲ τόν γε ἄνακτα παρ’ ἵπποισιν καὶ ὄχεσφιν
ἕλκος ἀναψύχοντα[9], τό μιν βάλε Πάνδαρος ἰῷ[10].
ἱδρὼς[11] γάρ μιν ἔτειρεν ὑπὸ πλατέος τελαμῶνος[12]
ἀσπίδος εὐκύλου· τῷ τείρετο, κάμνε δὲ χεῖρα,
ἂν δ’ ἴσχων τελαμῶνα κελαινεφὲς[13] αἷμ’ ἀπομόργνυ.
ἱππείου δὲ θεὰ ζυγοῦ ἥψατο φώνησέν τε·
«ἦ ὀλίγον οἷ παῖδα ἐοικότα γείνατο[14] Τυδεύς.
Τυδεύς τοι μικρὸς μὲν ἔην δέμας[15], ἀλλὰ μαχητής·
καί ῥ’ ὅτε πέρ μιν ἐγὼ πολεμίζειν οὐκ εἴασκον
οὐδ’ ἐκπαιφάσσειν[16], ….. ὅτε τ’ ἤλυθε νόσφιν Ἀχαιῶν
ἄγγελος ἐς Θήβας πολέας μετὰ Καδμείωνας·
δαίνυσθαί μιν ἄνωγον ἐνὶ μεγάροισιν ἕκηλον·
αὐτὰρ ὁ θυμὸν ἔχων ὃν καρτερόν, ὡς τὸ πάρος περ,
κούρους Καδμείων προκαλίζετο[17], πάντα δ’ ἐνίκα
ῥηϊδίως· τοίη οἱ ἐγὼν ἐπιτάρροθος[18] ἦα[19].
σοὶ δ’ ἤτοι μὲν ἐγὼ παρά θ’ ἵσταμαι ἠδὲ φυλάσσω,
καί σε προφρονέως κέλομαι Τρώεσσι μάχεσθαι·
ἀλλά σευ ἢ κάματος[20] πολυᾶϊξ[21] γυῖα[22] δέδυκεν,
ἤ νύ σέ που δέος[23] ἴσχει ἀκήριον[1]· οὐ σύ γ’ ἔπειτα

---

[1] opvallend aor. met iteratief element
[2] αἰδώς schaamte
[3] ἔλεγχος τό schande, schandvlek
[4] ἀγητός bewonderenswaardig
[5] ὄφρα zolang als
[6] πωλέομαι geregeld komen
[7] οἰχνέω komen
[8] ἑκάς + gen. ver van
[9] ἀναψύχω verkoelen, verfrissen
[10] ἰός pijl
[11] ἱδρώς zweet
[12] τελαμών ὁ bandelier
[13] κελαινεφής donkerwolkend
[14] γείνατο *transitieve aor. van γίγνομαι*: op de wereld zetten
[15] δέμας τό gestalte
[16] ἐκπαιφάσσω uitblinken
[17] προκαλίζομαι uitdagen
[18] ἐπιτάρροθος helper
[19] = ἦν
[20] κάματος vermoeidheid
[21] πολυᾶϊξ onstuimig
[22] γυῖα τά ledematen
[23] δέος τό vrees

Τυδέος ἔκγονός ἐσσι δαΐφρονος Οἰνεΐδαο.»
Τὴν δ᾽ ἀπαμειβόμενος προσέφη κρατερὸς Διομήδης·
«γιγνώσκω σε, θεά, θύγατερ Διὸς αἰγιόχοιο·
τῶ τοι προφρονέως ἐρέω ἔπος οὐδ᾽ ἐπικεύσω[2].
οὔτε τί με δέος ἴσχει ἀκήριον οὔτε τις ὄκνος[3],
ἀλλ᾽ ἔτι σέων μέμνημαι ἐφετμέων, ἃς ἐπέτειλας·
οὔ μ᾽ εἴας μακάρεσσι θεοῖς ἀντικρὺ[4] μάχεσθαι
τοῖς ἄλλοις· ἀτὰρ εἴ κε Διὸς θυγάτηρ Ἀφροδίτη
ἔλθῃσ᾽ ἐς πόλεμον, τήν γ᾽ οὐτάμεν[5] ὀξέϊ χαλκῷ.
τοὔνεκα νῦν αὐτός τ᾽ ἀναχάζομαι[6] ἠδὲ καὶ ἄλλους
Ἀργείους ἐκέλευσα ἀλήμεναι[7] ἐνθάδε πάντας·
γιγνώσκω γὰρ Ἄρηα μάχην ἀνὰ κοιρανέοντα[8].»
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
«Τυδεΐδη Διόμηδες, ἐμῷ κεχαρισμένε θυμῷ,
μήτε σύ γ᾽ Ἄρηα τό γε[9] δείδιθι μήτε τιν᾽ ἄλλον
ἀθανάτων· τοίη τοι ἐγὼν ἐπιτάρροθός[10] εἰμι·
ἀλλ᾽ ἄγ᾽ ἐπ᾽ Ἄρηϊ πρώτῳ ἔχε μώνυχας ἵππους,
τύψον δὲ σχεδίην μηδ᾽ ἅζεο[11] θοῦρον Ἄρηα
τοῦτον μαινόμενον, τυκτὸν[12] κακόν, ἀλλοπρόσαλλον[13],
ὃς πρῴην[14] μὲν ἐμοί τε καὶ Ἥρῃ στεῦτ᾽[15] ἀγορεύων
Τρωσὶ μαχήσεσθαι, ἀτὰρ Ἀργείοισιν ἀρήξειν,
νῦν δὲ μετὰ Τρώεσσιν ὁμιλεῖ, τῶν δὲ λέλασται[16].»
Ὣς φαμένη Σθένελον μὲν ἀφ᾽ ἵππων ὦσε χαμᾶζε,
χειρὶ πάλιν ἐρύσασ᾽, ὁ δ᾽ ἄρ᾽ ἐμμαπέως[17] ἀπόρουσεν·
ἡ δ᾽ ἐς δίφρον ἔβαινε παραὶ Διομήδεα δῖον
ἐμμεμαυῖα θεά· μέγα δ᾽ ἔβραχε[18] φήγινος[19] ἄξων
βριθοσύνῃ[20]· δεινὴν γὰρ ἄγεν θεὸν ἄνδρά τ᾽ ἄριστον.
λάζετο δὲ μάστιγα καὶ ἡνία Παλλὰς Ἀθήνη·
αὐτίκ᾽ ἐπ᾽ Ἄρηϊ πρώτῳ ἔχε μώνυχας ἵππους.
ἤτοι ὁ μὲν Περίφαντα πελώριον ἐξενάριζεν[1],

---

| | |
|---|---|
| [1] ἀκήριος | zonder moed |
| [2] ἐπικεύθω | verbergen |
| [3] ὄκνος ὁ | aarzeling |
| [4] ἀντικρὺ | tegen |
| [5] οὐτάμεν aor. van οὐτάω | verwonden; *vul aan* ἐκέλευες |
| [6] ἀναχάζομαι | wijken |
| [7] ἔλλομαι | zich verzamelen |
| [8] κοιρανέω | bevelen uitdelen |
| [9] τό γε *acc. resp.* | daarom toch |
| [10] ἐπιτάρροθός | |
| [11] ἅζομαι | schroom hebben voor |
| [12] τυκτός | volmaakt |
| [13] ἀλλοπρόσαλλος | onbetrouwbaar |
| [14] πρῴην | onlangs |
| [15] στεῦται | beloven |
| [16] λήθομαι *+ gen.* | vergeten |
| [17] ἐμμαπέως | ijlings |
| [18] ΒΡΑΧ- | kraken |
| [19] φήγινος | eiken |
| [20] βριθόσυνη ἡ | gewicht |

Αἰτωλῶν ὄχ’[2] ἄριστον, Ὀχησίου ἀγλαὸν υἱόν·
τὸν μὲν Ἄρης ἐνάριζε μιαιφόνος· αὐτὰρ Ἀθήνη
δῦν’ Ἄϊδος κυνέην, μή μιν ἴδοι ὄβριμος[3] Ἄρης.
Ὡς δὲ ἴδε βροτολοιγὸς Ἄρης Διομήδεα δῖον,
ἤτοι ὁ μὲν Περίφαντα πελώριον αὐτόθ’ ἔασε
κεῖσθαι, ὅθι πρῶτον κτείνων ἐξαίνυτο[4] θυμόν,
αὐτὰρ ὁ βῆ ῥ’ ἰθὺς Διομήδεος ἱπποδάμοιο.
οἱ δ’ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ’ ἀλλήλοισιν ἰόντες,
πρόσθεν Ἄρης ὠρέξαθ’ ὑπὲρ ζυγὸν ἡνία θ’ ἵππων
ἔγχεϊ χαλκείῳ, μεμαὼς ἀπὸ θυμὸν ἑλέσθαι·
καὶ τό γε χειρὶ λαβοῦσα θεὰ γλαυκῶπις Ἀθήνη
ὦσεν ὑπὲκ[5] δίφροιο ἐτώσιον[6] ἀϊχθῆναι[7].
δεύτερος αὖθ’ ὡρμᾶτο βοὴν ἀγαθὸς Διομήδης
ἔγχεϊ χαλκείῳ· ἐπέρεισε[8] δὲ Παλλὰς Ἀθήνη
νείατον ἐς κενεῶνα[9], ὅθι ζωννύσκετο[10] μίτρῃ·
τῇ ῥά μιν οὖτα τυχών, διὰ δὲ χρόα καλὸν ἔδαψεν[11],
ἐκ δὲ δόρυ σπάσεν αὖτις· ὁ δ’ ἔβραχε χάλκεος Ἄρης,
ὅσσον τ’ ἐννεάχιλοι ἐπίαχον[12] ἢ δεκάχιλοι
ἀνέρες ἐν πολέμῳ ἔριδα ξυνάγοντες Ἄρηος.
τοὺς δ’ ἄρ’ ὑπὸ τρόμος εἷλεν Ἀχαιούς τε Τρῶάς τε
δείσαντας· τόσον ἔβραχ’ Ἄρης ἆτος[13] πολέμοιο.
Οἵη δ’ ἐκ νεφέων ἐρεβεννὴ[14] φαίνεται ἀὴρ[15]
καύματος[16] ἐξ ἀνέμοιο δυσαέος[17] ὀρνυμένοιο,
τοῖος Τυδεΐδῃ Διομήδεϊ χάλκεος Ἄρης
φαίνεθ’ ὁμοῦ[18] νεφέεσσιν ἰὼν εἰς οὐρανὸν εὐρύν.
καρπαλίμως δ’ ἵκανε θεῶν ἕδος[19], αἰπὺν Ὄλυμπον,
πὰρ δὲ Διὶ Κρονίωνι καθέζετο θυμὸν ἀχεύων[20],
δεῖξεν δ’ ἄμβροτον αἷμα καταρρέον ἐξ ὠτειλῆς[21],
καί ῥ’ ὀλοφυρόμενος ἔπεα πτερόεντα προσηύδα·

---

| | |
|---|---|
| [1] ἐξεναρίζω | doden, van de wapenrusting beroven |
| [2] ὄχα + *superlativus* | verreweg |
| [3] ὄβριμος | geweldig |
| [4] ἐξαίνυμαι | ontnemen |
| [5] ὑπὲκ + *gen.* | weg van |
| [6] ἐτώσιον | nutteloos |
| [7] ἀίσσω | snellen; *heeft een aor. pass.* |
| [8] ἐπερείδω | drukken op |
| [9] κενεών ὁ | onderlijf |
| [10] ζώννυμι | omgorden |
| [11] δάπτω | bijten |
| [12] ἐπιάχω, *aor.* ἐπίαχον | schreeuwen bij |
| [13] ἆτος + *gen.* | onverzadelijk met |
| [14] ἐρεβεννός | duister |
| [15] ἀήρ ὁ/ὁ | wolk |
| [16] καῦμα τό | hitte |
| [17] δυσαής | hevig blazend |
| [18] ὁμοῦ + *dat.* | tegelijkertijd met, temidden van |
| [19] ἕδος τό | zitplaats, verblijfplaats |
| [20] ἀχεύω | treuren |
| [21] ὠτείλη ἡ | wond |

«Ζεῦ πάτερ, οὐ νεμεσίζῃ ὁρῶν τάδε καρτερὰ ἔργα;
αἰεί τοι ῥίγιστα[1] θεοὶ τετληότες εἰμὲν
ἀλλήλων ἰότητι[2], χάριν[3] ἄνδρεσσι φέροντες.
σοὶ πάντες μαχόμεσθα[4]· σὺ γὰρ τέκες ἄφρονα κούρην,
οὐλομένην, ᾗ τ᾽ αἰὲν ἀήσυλα[5] ἔργα μέμηλεν[6].
ἄλλοι μὲν γὰρ πάντες, ὅσοι θεοί εἰσ᾽ ἐν Ὀλύμπῳ,
σοί τ᾽ ἐπιπείθονται καὶ δεδμήμεσθα[7] ἕκαστος·
ταύτην δ᾽ οὔτ᾽ ἔπεϊ προτιβάλλεαι[8] οὔτε τι ἔργῳ,
ἀλλ᾽ ἀνιεῖς[9], ἐπεὶ αὐτὸς ἐγείναο παῖδ᾽ ἀΐδηλον[10]·
ἣ νῦν Τυδέος υἱόν, ὑπερφίαλον Διομήδεα,
μαργαίνειν[11] ἀνέηκεν ἐπ᾽ ἀθανάτοισι θεοῖσι.
Κύπριδα μὲν πρῶτον σχεδὸν οὔτασε χεῖρ᾽ ἐπὶ καρπῷ[12],
αὐτὰρ ἔπειτ᾽ αὐτῷ μοι ἐπέσσυτο[13] δαίμονι ἶσος·
ἀλλά μ᾽ ὑπήνεικαν ταχέες πόδες· ἦ τέ κε δηρὸν[14]
αὐτοῦ πήματ᾽ ἔπασχον ἐν αἰνῇσιν νεκάδεσσιν[15],
ἤ κε ζὼς ἀμενηνὸς[16] ἔα[17] χαλκοῖο τυπῇσι[18].»
Τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη νεφεληγερέτα Ζεύς.
«μή τί μοι, ἀλλοπρόσαλλε[19], παρεζόμενος μινύριζε[20].
ἔχθιστος δέ μοί ἐσσι θεῶν οἳ Ὄλυμπον ἔχουσιν·
αἰεὶ γάρ τοι ἔρις τε φίλη πόλεμοί τε μάχαι τε.
μητρός τοι μένος ἐστὶν ἀάσχετον[21], οὐκ ἐπιεικτόν[22],
Ἥρης· τὴν μὲν ἐγὼ σπουδῇ[23] δάμνημ᾽ ἐπέεσσι·
τῶ σ᾽ ὀΐω κείνης τάδε πάσχειν ἐννεσίῃσιν[24].
ἀλλ᾽ οὐ μάν σ᾽ ἔτι δηρὸν ἀνέξομαι ἄλγε᾽ ἔχοντα·
ἐκ γὰρ ἐμεῦ γένος ἐσσί, ἐμοὶ δέ σε γείνατο μήτηρ·
εἰ δέ τευ ἐξ ἄλλου γε θεῶν γένευ ὧδ᾽ ἀΐδηλος,

---

[1] ῥίγιστα τά — het ergste
[2] ἰότης — de wil
[3] χάρις — dienst
[4] μάχομαι — zich verzetten, tegenspreken
[5] ἀήσυλος — overmoedig
[6] = μέλει; *hier perf. met intensiverend praesens betekenis*
[7] δάμνημι — bedwingen
[8] προσβάλλομαι — straffen
[9] ἀνίημι — aansporen
[10] ἀΐδηλος — verdelgend, verderfelijk
[11] μαργαίνω — razen
[12] καρπός — pols
[13] ἐπισεύομαι + *dat.* — afgaan op
[14] δηρὸν — al lang
[15] νεκάς ἡ — een hoop lijken
[16] ἀμενηνὸς — wezenloos
[17] = ἦ(ν)
[18] τυπή ἡ — slag
[19] ἀλλοπρόσαλλος — onbetrouwbaar
[20] μινυρίζω — jammeren
[21] ἀάσχετος — onweerhoudbaar
[22] ἐπιεικτός — onbetamelijk
[23] σπουδῇ — met moeite
[24] ἐννεσίη ἡ — inblazing

καί κεν δὴ πάλαι ἦσθα ἐνέρτερος[1] Οὐρανιώνων[2].»
Ὣς φάτο, καὶ Παιήον’[3] ἀνώγειν[4] ἰήσασθαι[5]·
τῷ δ᾽ ἐπὶ Παιήων ὀδυνήφατα[6] φάρμακα πάσσων[7]
ἠκέσατ᾽· οὐ μὲν γάρ τι καταθνητός γ᾽ ἐτέτυκτο.
ὡς δ᾽ ὅτ᾽ ὀπὸς[8] γάλα[9] λευκὸν ἐπειγόμενος[10] συνέπηξεν[11]
ὑγρὸν ἐόν, μάλα δ᾽ ὦκα περιτρέφεται[12] κυκόωντι[13],
ὣς ἄρα καρπαλίμως ἰήσατο θοῦρον Ἄρηα.
τὸν δ᾽ Ἥβη λοῦσεν, χαρίεντα δὲ εἵματα ἕσσε[14]·
πὰρ δὲ Διὶ Κρονίωνι καθέζετο κύδεϊ γαίων[15].
Αἱ δ᾽ αὖτις πρὸς δῶμα Διὸς μεγάλοιο νέοντο[16],
Ἥρη τ᾽ Ἀργείη καὶ Ἀλαλκομενηῒς[17] Ἀθήνη,
παύσασαι βροτολοιγὸν Ἄρη᾽ ἀνδροκτασιάων[18].

---

[1] ἐνέρτερος dieper onder de grond
[2] Οὐρανιων: *hier de Titanen, de zonen van Ouranos die door Zeus onder de Aarde zijn gestopt na de strijd om de macht.*
[3] Παιήων: god van de geneziing
[4] ἀνώγω/ἀνώγα bevelen
[5] ἰάομαι genezen
[6] ὀδυνήφατος pijndodend
[7] πάσσω strooien
[8] ὀπός sap van de wilde vijg, dat melk stremmen
[9] γάλα τό melk
[10] ἐπειγόμενος snel
[11] συμπήγνυμι stremmen
[12] περιτρέφομαι veranderen, stollen
[13] κυκάω roeren
[14] ἕννυμι aantrekken
[15] γαίω zich vermeien
[16] νέομαι terugkeren
[17] Ἀλαλκομενηῒς *betekenis is onduidelijk:* 1 in Alakomenai vereerd (bij de rivier de Triton in Boiotië, 2 beschermster
[18] ἀνδροκτασίη slachting der mannen